ΞΕΝΟΦΩΝΤΟΣ

Λόγος περὶ Ιππικῆς.


Ιππαρχικός.

Κυνηγετικός.

ACCESSERE

VETERUM TESTIMONIA

DE XENOPHONTE.



Ἐκ ΘΕΑΤΡΟΥ ἐν ΟΞΟΝΙᾼ.

Ετει αχϟγ. 1693.

ΞΕΝΟΦΩΝΤΟΣ
ΠΕΡΙ ΙΠΠΙΚΗΣ.

ΕΠΕΙΔΗ, διὰ τὸ συμβῆναι ἡμῖν πολὺν χρόνον ἱππεύειν, οἰόμεθα ἔμπειροι ἱππικῆς γεγενῆσθαι, βουλόμεθα καὶ τοῖς νεωτέροις τῶν φίλων δηλῶσαι, ᾗ ἂν νομίζωμεν αὐτοὺς ὀρθότατα ἵπποις προσφέρεσθαι. συνέγραψε μὲν οὖν καὶ Σίμων περὶ ἱππικῆς, ὃς καὶ τὸν κατὰ τὸ Ἐλευσίνιον Ἀθήνησιν ἵππον χαλκοῦν ἀνέθηκε, καὶ ἐν τῷ βάθρῳ τὰ ἑαυτοῦ ἔργα ἐξετύπωσεν. ἡμεῖς γε μέντοι ὅσοις συνετύχομεν ταυτὰ γνόντες ἐκείνῳ, οὐκ ἐξαλείφομεν ἐκ τῶν ἡμετέρων, ἀλλὰ πολὺ ἥδιον παραδώσομεν αὐτὰ τοῖς φίλοις, νομίζοντες ἀξιοπιστότεροι εἶναι, ὅτι κἀκεῖνος κατὰ ταυτὰ ἡμῖν ἔγνω, ἱππικὸς ὤν· καὶ ὅσα δὴ παρέλιπεν, ἡμεῖς πειρασόμεθα δηλῶσαι.

ΚΕΦ.

XENOPHONTIS
DE RE EQUESTRI.

QUONIAM rei nos equestris usum adsequutos inde ducimus, quod equitando sane longo tempore nos occupari contigerit: amicis etiam junioribus indicare volumus, qua ratione equos rectissime tractent. Scripsit quidem & Simo librum de re equestri, qui Athenis equum aheneum in Eleusinio dicatum posuit, & in basi opera ipsius & facta cælavit. Nos autem, in quibus idem forte cum illo sentimus, ea de nostris haud expungimus: sed multo libentius amicis hæc quoque trademus, eo quod arbitremur fidem nos inde majorem inventuros, quia vir equestris rei peritus in eadem nobiscum sententia fuerit. Quæcumq; vero prætermisit, nos indicare conabimur

ΚΕΦ. α΄.

Πρῶτον δὲ γράψομεν, ὡς ἄν τις ἥκιστα ἐξαπατῷτο ἐν ἱππωνείᾳ. τοῦ μὲν τοίνυν ἔτι ἀδαμάστου πώλου δῆλον ὅτι τὸ σῶμα δεῖ δοκιμάζειν. τῆς γὰρ ψυχῆς οὐ πάνυ σαφῆ τεκμήρια παρέχεται ὁ μήπω ἀναβαινόμενος.

β΄. Τοῦ γε μὴν σώματος πρῶτόν φαμεν χρῆναι τοὺς πόδας σκοπεῖν. ὥσπερ γὰρ οἰκίας οὐδὲν ὄφελος ἂν εἴη, εἰ τὰ ἄνω πάνυ καλὰ ἔχοι, μὴ ὑποκειμένων οἵων δεῖ θεμελίων, οὕτω καὶ ἵππου πολεμιστηρίου οὐδὲν ἂν ὄφελος εἴη, οὐδ᾽ εἰ τὰ ἄλλα πάντα ἀγαθὰ ἔχοι, κακόπους δ᾽ εἴη. οὐδενὶ γὰρ ἂν δύναιτο τῶν ἀγαθῶν χρῆσθαι.

γ΄. Πόδας δ᾽ ἄν τις δοκιμάζοι, πρῶτον μὲν τοὺς ὄνυχας σκοπῶν. οἱ γὰρ παχεῖς πολὺ τῶν λεπτῶν διαφέρουσιν εἰς εὐποδίαν. ἔπειτα οὐδὲ τοῦτο δεῖ λανθάνειν, πότερον αἱ ὁπλαί εἰσιν ὑψηλαὶ ἢ ταπειναί, καὶ ἔμπροσθεν καὶ ὄπισθεν,

ἢ

CAP. I.

PRimum autem ſcribemus, quonam modo minime aliquis in equorum emtione circumveniatur. Itaque pulli necdum adhuc domiti corpus explorandum eſſe conſtat. Nam qui nondum conſcenditur, animi ſatis clara non præbet indicia.

2. In corpore vero pedes primum ſpectandos dicimus. Sicut enim domus uſui nulli fuerit, ſi pulchre ſtructæ ſint partes ejus ſuperiores, fundamentis inferius haud locatis, ut oportebat: ita nec bellatoris equi fuerit uſus ullus, ſi cætera bonus omnia, pedes malos habeat. Nequit enim dotibus illis aliis uti.

3. Pedes ſic aliquis explorare queat, ſi ungulas primum ſpectet. Præſtant enim pedes bonitate, ſi ſpiſſæ potius ungulæ ſint, quam ſi tenues. Deinde nec illud negligendum, an arduæ ſint ungulæ, an depreſſæ ſive humiles, tam anterius quam poſte-

ἢ χαμηλαί. αἱ μὲν γὰρ ὑψηλαὶ πόῤῥω ἀπὸ τοῦ δαπέδου ἔχουσι τὴν χελιδόνα καλουμένην, αἱ δὲ ταπειναὶ ὁμοίως βαίνουσι τῷ τε ἰσχυροτάτῳ, καὶ τῷ μαλακωτάτῳ τοῦ ποδὸς, ὥσπερ οἱ βλαισοὶ τῶν ἀνθρώπων. καὶ τῷ ψόφῳ δέ φησι Σίμων δήλους εἶναι τοὺς εὔποδας, καλῶς λέγων. ὥσπερ γὰρ κύμβαλον ψοφεῖ πρὸς τῷ δαπέδῳ ἡ κοίλη ὁπλή.

δ΄. Επεὶ δὲ ἠρξάμεθα ἐντεῦθεν, ταύτῃ καὶ ἀναβησόμεθα πρὸς τὸ ἄλλο σῶμα. δεῖ τοίνυν καὶ τὰ ἀνωτέρω μὲν τῶν ὁπλῶν, κατωτέρω δὲ τῶν (a) κυνηπόδων ὀστᾶ, μήτε ἄγαν ὀρθὰ εἶναι, ὥσπερ αἰγός· (ἀντιτυπώτερα γὰρ ὄντα κόπτει τε τὸν ἀναβάτην, καὶ περιφλεγμαίνει μᾶλλον τὰ τοιαῦτα σκέλη·) οὐδὲ μὴν ἄγαν ταπεινὰ τὰ ὀστᾶ δεῖ εἶναι. ψιλοῖντο γὰρ ἂν, καὶ ἑλκοῖντο οἱ κυνήποδες, εἴτ᾽ ἐν βώλοις, εἴτ᾽ ἐν λίθοις ἐλαύνοιτο ὁ ἵππος.

ε΄. Τῶν γε μὴν κνημῶν τὰ ὀστᾶ παχέα χρὴ εἶναι· (ταῦτα γάρ ἐστι στήριγγες τοῦ σώματος·) οὐ μέντοι φλεψί γε οὐδὲ σαρξὶ παχείαις. εἰ δὲ μὴ, ὅταν ἐν σκληροῖς ἐλαύνηται, ἀνάγκη αἵματος

posterius. Nam arduæ remotam à solo testudinem, quam vocant, habent, depressæ vero, tam firmissima, quam maxime tenera parte pedis pariter ingrediuntur, ut inter homines qui valgi dicuntur. Etiam sonitu recte memorat Simo pedum bonitatem prodi. Nam ungula concava solo impacta velut cymbalum resonat.

4. Quia vero hinc orsi sumus, indidem ad alias partes corporis adscendemus. Igitur ossa, quæ supra ungulas sunt, infra tamen Cynepodas, nec admodum esse recta debent, ut in capris; (quia quum duriora sint, equitem succutiunt, & hujusmodi crura facilius etiam inflammantur:) nec eadem ossa debent esse valde depressa. Nam cæteroqui cynepodes deglabrarentur, & exulcerarentur, sive per glebas, seu per saxa sit equus agendus.

5. Ossa tibiarum oportet esse crassa. Etenim ea corporis fulcra sunt. Neque tamen crassæ sint aut venæ aut carnes. Nam alioquin equo per aspera gradiente necesse sit eas partes sangui-

αἵματος ταῦτα πληροῦσθαι, καὶ σκίρρους γίγνεσθαι, καὶ παχύνεσθαι μὲν τὰ σκέλη, ἀφίστασθαι δὲ τὸ δέρμα. χαλῶντος δὲ τούτου, πολλάκις καὶ ἡ περόνη ἀποστᾶσα χωλὸν ἀπέδειξε τὸν ἵππον.

ς'. Τά γε μὴν γόνατα ἢν βαδίζων ὁ πῶλος ὑγρῶς κάμπτῃ, εἰκάζοις ἂν καὶ ἱππεύοντα ὑγρὰ ἕξειν τὰ σκέλη. πάντες γὰρ προϊόντος τοῦ χρόνου ὑγροτέρως κάμπτουσιν ἐν τοῖς γόνασι. τὰ δὲ ὑγρὰ δικαίως εὐδοκιμεῖ. ἀπταιστότερον γὰρ καὶ ἀκοπώτερον τὸν ἵππον τῶν σκληρῶν σκελῶν παρέχει.

ζ'. Μηροί γε μέντοι οἱ ὑπὸ ταῖς ὠμοπλάταις ἢν παχεῖς ὦσιν, ἰσχυρότεροί τε καὶ εὐπρεπέστεροι, ὥσπερ ἀνδρός, φαίνονται. καὶ μὴν στέρνα πλατύτερα ὄντα, καὶ πρὸς κάλλος, καὶ πρὸς ἰσχὺν, καὶ πρὸς τὸ μὴ ἐπαλλὰξ, ἀλλὰ διὰ πολλοῦ τὰ σκέλη φέρειν, εὐφυέστερα.

η'. Ἀπό γε μὴν τοῦ στέρνου ὁ μὲν αὐχὴν αὐτοῦ μὴ ὥσπερ κάπρου προπετὴς πεφύκοι, ἀλλ', ὥσπερ ἀλεκτρυόνος, ὀρθὸς πρὸς τὴν κορυφὴν ἥκοι, λαγαρὸς δὲ εἴη τὰ κατὰ τὴν συγκαμ-

ne repleri, & tumores callosos existere, crassaque fieri crura, cum abscessu cutis: quæ si laxior fiat, etiam sura sæpius abscedit, & equo claudicandi caussam præbet.

6. Jam vero si genua pullus inter incedendum molli flexu moveat, hoc ipso conjecturam feceris, eum etiam habiturum agilia crura, quum ad equitationis usum idoneus erit. Quippe solent omnes genua progressu temporis etiam mollius & agilius inflectere. Non autem abs re agilia crura laudantur. Quippe minus & offendit & fatigatur equus talis, quam cui rigida crura sunt.

7. Femora sub armis si crassa sint, robustiora pariter, & venustiora, sicut etiam in corpore virili, videntur. Pectora quo latiora sint, eo sunt melius structa, sive formam spectes, seu robur, & ut equus non variato motu, sed eodem diu continuato cruribus utatur.

8. A pectore cervix ejus enata sit, non prona, sicut in verre; sed recta velut in gallo tendat ad verticem, & laxa sit, qua incurvatur.

συγκάμπτειν. ἡ δὲ κεφαλὴ ὀστώδης οὖσα μικρὰν σιαγόνα ἔχοι. οὕτως ὁ μὲν τράχηλος πρὸ τοῦ ἀναβάτου ἂν εἴη, τὸ δὲ ὄμμα πρὸ τῶν ποδῶν ὁρῴη. καὶ βιάζεσθαι δὲ ἥκιστ' ἂν δύναιτ' ὁ τοιοῦτον σχῆμα ἔχων, καὶ εἰ πάνυ θυμοειδὴς εἴη. οὐ γὰρ ἐγκάμπτοντες ἀλλ' ἐκτείνοντες τὸν τράχηλον καὶ τὴν κεφαλὴν βιάζεσθαι οἱ ἵπποι ἐπιχειροῦσι.

θ'. Σκοπεῖν δὲ χρὴ καὶ εἰ ἀμφότεραι μαλακαὶ αἱ γνάθοι, ἢ σκληραὶ, ἢ ἕτεραι. ἑτερόγναθοι γὰρ ὡς τὰ πολλὰ οἱ μὴ ὁμοίας τὰς γνάθους ἔχοντες γίγνονται. καὶ μὴν τὸ ἐξόφθαλμον εἶναι ἐγρηγορὸς μᾶλλον φαίνεται τοῦ κοιλοφθάλμου, καὶ ἐπὶ πλεῖον δ' ἂν ὁ τοιοῦτος ὁρῴη.

ι'. Καὶ μυκτῆρές γε οἱ ἀναπεπταμένοι τῶν συμπεπτωκότων εὐπνοώτεροί τε ἅμα εἰσὶ, καὶ γοργότερον τὸν ἵππον ἀποδεικνύουσι. καὶ γὰρ ὅταν ὀργίζηται ἵππος ἵππῳ, ἢ ἐν ἱππασίᾳ θυμῶται, εὐρύνει μᾶλλον τοὺς μυκτῆρας.

ια'. Καὶ μὴν κορυφὴ μὲν μείζων, ὦτα δὲ μικρότερα ἱππωδεστέραν τὴν κεφαλὴν ἀποφαίνει. ἡ δ' αὖ ὑψηλὴ ἀκρω-

μία

curvatur. Caput ſit oſſeum, idque mandibulam parvam habeat. Sic equi collum ante ſeſſorem erit, & oculus ante pedes ſpectabit. Formæ vero talis equus minime vi cogere ſeſſorem poterit, etiamſi valde ſit animoſus. Quippe quum equi vim moliuntur, non collum & caput inflectunt, ſed extendunt.

9. Maxillæ quoque conſiderandæ ſunt, ambæne teneræ ſint, vel duriores, an alterutra. Nam qui maxillas diſſimiles habent, ab oris altera parte contumaces fiunt. Indicia vigilantiæ potiora ſunt in oculis prominentibus, quam intra concavitatem abditis; & equus ejuſmodi, etiam longius proſpexerit.

10. Nares patulæ compreſſis ad reſpirandum commodiores ſunt, & equi ſpeciem magis terribilem efficiunt. Nam & quum equus equo iraſcitur, & quum inter equitandum ferocior evadit, magis diducit nares.

11. Vertex major, aures minutiores, equinum caput elegantius reddunt. Si prominentium armorum

μία τῷ τε ἀναβάτῃ ἀσφαλεστέραν τὴν ἕδραν, καὶ τοῖς ὤμοις καὶ τῷ σώματι ἰσχυροτέραν τὴν πρόσφυσιν παρέχεται. ἡ διπλῆ τῆς ἁπλῆς καὶ ἐγκαθῆσθαι μαλακωτέρα, καὶ ἰδεῖν ἡδίων.

ιβ'. Καὶ πλευρὰ δὲ ἡ βαθυτέρα, καὶ πρὸς τὴν γαστέρα ὀγκωδεστέρα, ἅμα εὐεδρότερόν τε, καὶ ἰσχυρότερον, καὶ * εὐχιλότερον ὡς ἐπὶ πολὺ τὸν ἵππον παρέχεται. ὀσφῦς γε μὴν ὅσῳ ἂν πλατυτέρα καὶ βραχυτέρα ᾖ, τοσούτῳ ῥᾷον μὲν ὁ ἵππος τὰ πρόσθεν αἴρεται, ῥᾷον δὲ τὰ ὄπισθεν προσάγεται· καὶ ὁ κενεὼν δὲ οὕτω μικρότατος φαίνεται, ὥσπερ μέγας ὢν μέρος μέν τι καὶ αἰσχύνει, μέρος δέ τι καὶ ἀσθενέστερον καὶ δυσφορώτερον αὐτὸν τὸν ἵππον παρέχεται.

ιγ'. Τά γε μὴν ἰσχία πλατέα εἶναι μὲν χρὴ καὶ εὔσαρκα, ἵνα ἀκόλουθα ᾖ ταῖς πλευραῖς καὶ τοῖς στέρνοις. ἢν δὲ πάντα στερεὰ ᾖ, κουφότερα ἂν τὰ πρὸς τὸν δρόμον εἴη, καὶ ὀξύτερον μᾶλλον ἂν τὸν ἵππον παρέχοιτο.

ιδ'. Μηροὺς γε μὴν τοὺς ὑπὸ τῇ οὐρᾷ ἢν ἅμα πλατείᾳ τῇ γραμμῇ διωρισμένους ἔχῃ, οὕτω καὶ τὰ ὄπισθεν σκέλη

rum extremitas sit altior, & equiti sedem magis tutam præbet, & ut armi firmius corpori adhæreant, facit. Eadem si duplex sit, ad insidendum mollior erit, quam simplex, & adspectu gratior.

12. Latera profundiora, & ad alvum turgidiuscula, simul efficiunt, ut equus ad insidendum plerumque commodior sit, & robustior, & pabulo melius fruatur. Lumbi quo latiores & breviores sunt, eo facilius adtollit partes equus anteriores, & posteriores facilius adtrahit: eodemque modo fit, ut venter quamminimus adpareat, qui vastior partim deformat equum, partim debilitat, & ad gestandum minus aptum reddit.

13. Coxas oportet esse latas & carnosas, ut lateribus & pectori respondeant. Quod si solida sint hæc omnia, leviora simul ad cursum erunt, & equum magis acrem exhibebunt.

14. Si femora equi sub cauda distincta fuerint linea latiori, etiam crura posteriora spatiosius sub-

σκέλη διὰ πολλοῦ ὑποθήσει. τοῦτο δὲ ποιῶν ἅμα γοργοτέραν τε καὶ ἰσχυροτέραν ἕξει τὴν ὑπόβασίν τε καὶ ἱππασίαν, καὶ ἅπαντα βελτίω ἔσται ἑαυτῆς. τεκμήραιο δ' ἂν καὶ ἀπ' ἀνθρώπων. ὅταν γάρ τι ἀπὸ τῆς γῆς ἄρασθαι βούλωνται, διαβαίνοντες πάντες μᾶλλον, ἢ συμβεβηκότες ἐπιχειροῦσιν αἴρεσθαι.

ιε'. Τοὺς γε μὴν ὄρχεις δεῖ μὴ μεγάλους τὸν ἵππον ἔχειν, ὃ οὐκ ἔστι πώλου κατιδεῖν. περί γε μὴν τῶν *κάτωθεν ἀστραγάλων, ἢ κνημῶν, καὶ κυνηπόδων, καὶ ὁπλῶν, τὰ αὐτὰ λέγομεν, ἅπερ περὶ τῶν ἔμπροσθεν.

ις'. Γράψαι δὲ βούλομαι καὶ ἐξ ὧν ἂν περὶ μεγέθους ἥκιστα ἀποτυγχάνοι τις. ὅτου γὰρ ἂν ὦσιν αἱ κνῆμαι εὐθὺς γιγνομένου ὑψηλόταται, οὗτος μέγιστος γίγνεται. προϊόντος γὰρ τοῦ χρόνου πάντων τῶν τετραπόδων αἱ μὲν κνῆμαι εἰς μέγεθος οὐ μάλα αὔξονται, πρὸς δὲ ταύτας, ὡς ἂν συμμέτρως ἔχῃ, συναύξεται καὶ τὸ ἄλλο σῶμα.

ιζ'. Εἶδος μὲν δὴ πώλου οὕτω δοκιμάζοντες, μάλιστ'

ſubjiciet. Id vero ſi faciat, ſimul & pernicius ſub equite quum agitabitur, & firmius incedet; & omnia, quam aliter, erunt meliora. Licebit ex ipſis hominibus hoc conjicias. Quippe quum aliquid adtollere de terra volunt, magis omnes id crura divaricando, quam iiſdem conjunctis, facere nituntur.

15. Coleos equus grandes habere non debet, quod in pullo deprehendi nequit. De talis poſterioribus, deque tibiis, & calloſis crurum partibus, quæ cynepodes ſunt, & de ungulis, eadem dicimus, quæ de anterioribus.

16. Nunc ea ſcribere volo, de quibus equi magnitudinem conjiciens, minime quiſpiam aberraverit. Cujus enim pulli tibiæ ſtatim ab ortu fuerint altiores, is maximus fieri ſolet. Nam omnium quadrupedum tibiæ progreſſu temporis magnitudine non admodum creſcunt, ſed proportione quadam apta corpus etiam reliquum pro ratione tibiarum ſumit incrementum.

17. Qui formam pulli ad hunc modum

μάλιστ' ἂν ἡμῖν δοκοῦσι τυγχάνειν εὔπολος καὶ ἰσχυροῦ καὶ εὐσάρκου καὶ εὐσχήμονος καὶ εὐμεγέθους. εἰ δέ τινες αὐξανόμενοι μεταβάλλουσιν, ὅμως οὕτω θαῤῥοῦντες δοκιμάζοιμεν. πολλῷ γὰρ πλείονες εὐχρόαστοι ἐξ αἰσχρῶν, ἢ ἐκ τοιούτων αἰσχροὶ γίγνονται.

ΚΕΦ. β'.

Ὅπως γε μὴν δεῖ πωλεύειν, δοκεῖ ἡμῖν γραπτέον εἶναι. τάττονται μὲν γὰρ δὴ ἐν ταῖς πόλεσιν ἱππεύειν οἱ τοῖς χρήμασί τε ἱκανώτατοι, καὶ τῆς πόλεως οὐκ ἐλάχιστον μετέχοντες. πολὺ δὲ κρεῖττον τοῦ πωλοδάμνην εἶναι, τῷ μὲν νέῳ εὐεξίας τε ἐπιμελεῖσθαι τῆς ἑαυτοῦ, καὶ ἱππικῆς, ἢ ἐπισταμένῳ ἤδη ἱππάζεσθαι μελετᾶν· τῷ τε πρεσβυτέρῳ τοῦ τε οἴκου, καὶ τῶν φίλων, καὶ τῶν πολιτικῶν, καὶ τῶν πολεμικῶν μᾶλλον, ἢ ἀμφὶ πωλεύσιν διατρίβειν.

β'. Ὁ μὲν δὴ, ὥσπερ ἐγὼ, γιγνώσκων περὶ πωλείας, δῆλον ὅτι

modum explorant, facile consecuturi nobis equum videntur, qui pedes habeat bonos, & robustus sit, & corpulentus, & elegans, & justæ magnitudinis. Si maxime quidam inter crescendum mutantur, nos tamen hæc confidenter in explorando sequi possimus. Nam longe plures ex deformibus pulchri, quam ex pulchris deformes fiunt.

CAP. II.

SCribendum etiam nobis videtur, quomodo pulli sint instituendi. Res equestris in urbibus mandari solet iis, quibus opes inprimis idoneæ sunt, & reipublicæ pars non minima creditur. Longe vero satius est, ut juvenis quidem, tum valetudinis suæ tum equestris rei studiosus sit, aut si jam equitare norit, ut exerceatur, quam ut pullorum sit domitor; provectior autem, ut domus, amicorum, civilium bellicarumque rerum curam potius gerat, quam pullis instituendis occupetur.

2. Si quis autem de pullis idem mecum sentit; pullum instituendum

λον ὅτι ἐκδώσει τὸν πῶλον. χρὴ μέντοι, ὥσπερ τὸν παῖδα ὅταν ἐπὶ τέχνην ἐκδῷ, συγγραψάμενον ἃ δεήσει ἐπιστάμενον ἀποδοῦναι, οὕτως ἐκδιδόναι. ταῦτα γὰρ ὑπομνήματα ἔσται τῷ πωλοδάμνῃ ὧν δεῖ ἐπιμεληθῆναι, εἰ μέλλει τὸν μισθὸν ἀπολήψεσθαι.

γ'. Ὅπως μέντοι πρᾷός τε καὶ χειροήθης καὶ φιλάνθρωπος ὁ πῶλος ἐκδίδοται τῷ πωλοδάμνῃ, ἐπιμελητέον. τὸ γὰρ τοιοῦτον οἴκοι τε τὰ πλεῖστα, καὶ διὰ τοῦ ἱπποκόμου ἀποτελεῖται, ἢν ἐπίστηται τὸ μὲν πεινῆν, καὶ διψῆν, ★ καὶ μὴ ὀργίζεσθαι παρασκευάζειν, μεθ' ἠρεμίας γίγνεσθαι τῷ πώλῳ· τὸ δὲ φαγεῖν, καὶ πιεῖν, καὶ τῶν λυπούντων ἀπαλλάττεσθαι, δι' ἀνθρώπων. τούτων γὰρ γιγνομένων ἀνάγκη μὴ μόνον φιλεῖσθαι, ἀλλὰ καὶ ποθεῖσθαι ὑπὸ πώλων ἀνθρώπους.

δ'. Καὶ ἅπτεσθαι δὲ χρὴ ὧν ψηλαφωμένων ὁ ἵππος μάλιστα ἥδεται. ταῦτα δ' ἐστὶ τά τε λασιώτατα, καὶ οἷς αὐτὸς ἥκιστα δύναται ὁ ἵππος, ἤν τι λυπῇ αὐτὸν, ἐπικουρεῖν.

ε'. Προστετάχθω δὲ τῷ ἱπποκόμῳ καὶ τὸ δι' ὄχλου διάγειν,

ſtituendum locabit, & ita quidem; ut non aliter, ac ſi puerum artis alicujus diſcendæ cauſſa locet, ſcripto complectatur, quomodo inſtructum ſibi reddi velit Id enim oſtendet domitori, quid efficere ſtudio ſuo debeat, ſi mercede potiri velit.

3. Opera vero danda, ut pullum domitor manſuetum, tractabilem, hominum amantem accipiat. Hoc plerumque domi efficiunt equiſones, ſi norint, etiam ſine labore famem, ſitim, iritationem in pullis exiſtere: ſed eoſdem non niſi per homines & pabulo, & potu potiri, & rebus moleſtis liberari poſſe. Nam hac ratione non tantum à pullis homines diligi, ſed expeti quoque neceſſe eſt.

4. Etiam illa tangenda ſunt, quorum contrectatione ſolet equus inprimis delectari. Sunt autem hæc, quæ ſpiſſitudine pilorum abundant, & quibus, ſi moleſtum aliquid accidat, opem ipſe ferre nequit.

5. Equiſoni qnoque præcipiatur, ut pullum per turbam ducat,

γειν, καὶ παντοδαπαῖς μὲν ὄψεσι, παντοδαποῖς δὲ ψόφοις πλησιάζειν. τούτων δὲ ὁπόσα ἂν ὁ πῶλος φοβῆται, οὐ χαλεπαίνοντα δεῖ, ἀλλὰ πραΰνοντα διδάσκειν, ὅτι οὐ δεινά ἐστι. καὶ περὶ μὲν πωλείας ἀρκεῖν μοι δοκεῖ τῷ ἰδιώτῃ εἰπεῖν τοσαῦτα πράττειν.

ΚΕΦ. γʹ.

Ὅταν γε μὴν ἱππαζόμενον ὠνῆταί τις, ὑπομνήματα γράψομεν, ἃ δεῖ καταμανθάνειν τὸν μέλλοντα μὴ ἐξαπατᾶσθαι ἐν ἱππωνείᾳ. πρῶτον μὲν τοίνυν μὴ λαθέτω αὐτὸν, τίς ἡλικία. ὁ γὰρ μηκέτι ἔχων γνώμονας, οὔτ' ἐλπίσιν εὐφραίνει, οὔτε ὁμοίως εὐαπάλλακτος γίγνεται.

βʹ. Ὁπότε δὲ ἡ νεότης σαφὴς, δεῖ αὖ μὴ λαθεῖν, πῶς μὲν εἰς τὸ στόμα δέχεται τὸν χαλινὸν, πῶς δὲ περὶ τὰ ὦτα τὴν κορυφαίαν. ταῦτα δὲ ἥκιστ' ἂν λανθάνοι, εἰ ὁρῶντος μὲν τοῦ ὠνουμένου ἐμβάλλοιτο ὁ χαλινὸς, ὁρῶντος δ' ἐξαιροῖτο.

γʹ. Ἔπειτα

cat, & ad varias ſpecies, varios ſonos propius admoveat. Horum ſi qua reformidat pullus, non à ſæviente, ſed deleniente doceri debet, eſſe illa minime terribilia. De pullis inſtituendis hæc minus perito præſcripſiſſe, mea quidem opinione ſatis eſt.

CAP. III.

Jam ubi quis equum comparare vult, qui agitari cœperit; admonitiones quaſdam adſcribemus, quas ſcire debet, qui nolit equorum in emtione circumveniri. Primum non ignoret, quæ ſit ætas equi. Nam qui (dentes pullinos, ætatis) indices amiſit; neque ſpe delectat, nec perinde revendibilis eſt.

2. Ubi juvenem eſſe conſtiterit, cognoſcendum eſt, quomodo frænum ore, verticis habenas ad aures admittat. Id vero nequit obſcurum eſſe, ſi frænum in conſpectu emtoris & injiciatur, & eximatur.

3. Hinc

γʹ. Ἔπειτα δὲ προσέχειν δεῖ τῷ νώτῳ, πῶς ἐπὶ τὸ νῶτον δέχεται τὸν ἀναβάτην. πολλοὶ γὰρ ἵπποι χαλεπῶς προσίενται, ἃ πρόδηλα αὐτοῖς ἐστιν, ὅτι προσέμενοι πονεῖν ἀναγκασθήσονται.

δʹ. Σκεπτέον δὲ καὶ τόδε, εἰ ἀναβαθεὶς ἐθέλει ἀφ' ἵππων ἀποχωρεῖν, ἢ εἰ παρεστηκότας ὀπτεύων μὴ ἐκφέρεσθαι πρὸς τούτοις. εἰσὶ δὲ οἳ διὰ κακὴν ἀγωγὴν καὶ πρὸς τὰς οἴκαδε ἀφόδους φεύγουσιν ἐκ τῆς ἱππασιῶν.

εʹ. Τοὺς γε μὴν ἑτερογνάθους μηνύει μὲν καὶ ἡ πέδη καλουμένη ἱππασία, πολὺ δὲ μᾶλλον καὶ τὸ μεταβάλλεσθαι τὴν ἱππασίαν. πολλοὶ γὰρ οὐκ ἐγχειροῦσιν ἐκφέρειν, ἢν μὴ ἅμα συμβῇ ἥτε ἄδικος γνάθος, καὶ ἡ πρὸς οἶκον ἐκφορά. δεῖ γε μὴν εἰδέναι καὶ εἰ ἀφεθεὶς εἰς τάχος ἀναλαμβάνεται ἐν βραχεῖ, καὶ εἰ ἀποστρέφεσθαι ἐθέλει.

ϛʹ. Ἀγαθὸν δὲ μὴ ἄπειρον εἶναι, εἰ καὶ πληγῇ ἐγερθεὶς ἐθέλει ὁμοίως πείθεσθαι. ἄχρηστον μὲν γὰρ δήπου καὶ οἰκέτης, καὶ στράτευμα ἀπειθές. ἵππος δὲ ἀπειθὴς οὐ μόνον ἄχρηστος,

3. Hinc animadvertendum, quonam modo equitem dorſo ſuſcipiat. Ex equis enim plerique diſſiculter admittunt, quæ jam ante intelligunt admiſſa laborandi neceſſitatem ſibi adlatura.

4. Hoc quoque conſiderandum, an conſcenſus, ab equis aliis digredi velit, vel an equos adſtantes inſpectans, ad eos ſeſſorem auferat. Sunt etiam, qui propter educationem malam ex ipſis agitationibus ſe fuga domum recipiunt.

5. Ex oris altera parte duriores prodit equitatio, quæ pedica nominatur; ac multo magis, ipſa equitationis mutatio. Nam plerique ſeſſorem auferre non conantur, niſi ſimul & ab improbiore maxilla juventur, & impetus ipſe domum tendat. Etiam ſciri oportet, an dimiſſus ad curſum celeriorem paullo momento inhibeatur, & an reverti velit.

6. Hoc quoque non ignorari conducit, an excitatus ictu perinde, ac prius, parere velit. Quippe nullius uſus eſt & famulus, & exercitus contumax. Equus vero contumax

ἄχρηστος, ἀλλὰ πολλάκις καὶ ὅσα περ προδότης διαπράττεται.

ζ'. Ἐπεὶ δὲ πολεμιστήριον ἵππον ὑπεθέμεθα ὠνεῖσθαι, ληπτέον πεῖραν ἁπάντων, ὅσων περ καὶ ὁ πόλεμος πεῖραν λαμβάνει. ἔστι δὲ ταῦτα, τάφρους διαπηδᾷν, τειχία ὑπερβαίνειν, ἐπ' ὄχθους ἀνορούειν, ἀπ' ὄχθων καθάλλεσθαι, καὶ πρὸς ἄναντες δὲ, καὶ κατὰ πρανοῦς, καὶ πλάγια ἐλαύνοντα πεῖραν λαμβάνειν. πάντα γὰρ ταῦτα καὶ τὴν ψυχὴν, εἰ καρτερὰ, καὶ τὸ σῶμα, εἰ ὑγιὲς, βασανίζει.

η'. Οὐ μέντοι τὸν μὴ καλῶς πάνυ ταῦτα ποιοῦντα ἀποδοκιμαστέον. πολλοὶ γὰρ οὐ διὰ τὸ μὴ δύνασθαι, ἀλλὰ διὰ τὸ ἄπειροι εἶναι, τούτων ἐλλείπονται. μαθόντες δὲ, καὶ ἐθισθέντες, καὶ μελετήσαντες, καλῶς ἂν ταῦτα πάντα ποιοῖεν, εἴ γ' ἄλλως ὑγιεῖς καὶ μὴ κακοὶ εἶεν.

θ'. Τούς γε μέντοι (b) ὑπόπτας φυλακτέον. οἱ γὰρ ὑπέρφοβοι βλάπτειν μὲν τοὺς πολεμίους ἀφ' ἑαυτῶν οὐκ ἐῶσι, τὸν δὲ ἀναβάτην ἔσφηλάν τε πολλάκις, καὶ εἰς τὰ χαλεπώτατα ἐνέβαλον.

ι'. Δεῖ

tumax non tantum inutilis est, sed etiam sæpenumero perpetrat ea quæ proditor solet.

7. Et quia nobis equum bellatorem comparandum suscepimus, periculum ejus faciundum in omnibus, quæ in bello tentari consueverunt. Ea vero sunt, transilire fossas, superare muros, in tumulos evadere cum impetu, de tumulis desilire. Faciundum quoque periculum, & sursum agitando per acclivia, & per declivia, & per transversa. Nam his omnibus & animus exploratur, an tolerans; & corpus, an sanum sit.

8. Non tamen is, qui hæc non admodum bene præstat, rejiciendus est. Etenim plerique, non quia non possint, sed quia rudes sint, in his deficiunt. At vero si didicerint, & adsuefacti sint, & exercitati, hæc omnia recte præstiterint; modo sani sint, & non ignavi.

9. Suspicaces tamen cavendi. Nam qui valde formidolosi sunt, ut hostem de se lædi non sinunt, ita sæpenumero etiam in gravissima pericula conjecto sessori detrimentum adtulerunt.

10. Cognoscen-

ι'. Δεῖ δὲ καὶ εἴ τινα χαλεπότητα ἔχοι ὁ ἵππος, καταμανθάνειν, εἴτε πρὸς ἵππους, εἴτε πρὸς ἀνθρώπους, καὶ εἰ δυσγάργαλίς γε εἴη. πάντα γὰρ ταῦτα χαλεπὰ τοῖς κεκτημένοις γίγνεται.

ια'. Τὰς δέ γε τῶν χαλινώσεων καὶ ἀναβάσεων ἀποκωλύσεις, καὶ τἄλλα δινεύματα, πολὺ ἂν ἔτι μᾶλλον καταμάθοι τις, εἰ πεποιηκότος ἤδη τοῦ ἵππου πάλιν πειρῷτο ποιεῖν ταῦτα, ὅσα περ πρὶν ἄρξασθαι ἱππεύειν. ὅσοι δ' ἂν πεπονηκότες ἐθέλωσι πάλιν πόνους ὑποδύεσθαι, ἱκανὰ τεκμήρια παρέχονται ταῦτα ψυχῆς καρτερᾶς.

ιβ'. Ὡς δὲ συνελόντι εἰπεῖν· ὅστις εὔπους μὲν εἴη, πρᾶος δὲ, ἀρκούντως δὲ ποδώκης, ἐθέλοι δὲ καὶ δύναιτο πόνους ὑποφέρειν, πείθοιτο δὲ μάλιστα, οὗτος ἂν εἰκότως ἀλυπότατός τ' εἴη καὶ σωτηριώτατος τῷ ἀμβάτῃ ἐν τοῖς πολεμικοῖς. οἱ δὲ ἢ διὰ βλακείαν ἐλάσεως πολλῆς δεόμενοι, ἢ, διὰ τὸ ὑπέρθυμοι εἶναι, πολλῆς θωπείας τε καὶ πραγματείας, ἀσχολίαν μὲν ταῖς χερσὶ τοῦ ἀνα-

βάτου

10. Cognoſcendum quoque, num aliqua ſævities inſit equo, vel adverſus equos, vel adverſus homines; & an ſe titillari non patiatur. Etenim hæc omnia non poſſunt non iis eſſe gravia, qui equum talem poſſident.

11. An autem ſe frænari, & conſcendi, ac vel in gyrum, vel aliter agitari recuſet, multo facilius cognoverit aliquis; ſi poſt exhauſtos ab equo labores, rurſus ea facere, quæ prius ante agitationem, adgrediatur. Quippe ſi qui laboribus exhauſtis, iterum labores ſubire volunt; indicia ſatis idonea firmi ac tolerantis animi præbent.

12. Ad ſummam, is equus, cui boni ſunt pedes, qui manſuetus eſt, qui ſatis velox, qui ſuſtinere labores & velit & poſſit, ac maxime qui pareat; in actionibus bellicis equiti haud dubie nec ullius rei gravis, & ſalutis auctor imprimis exiſtet. Qui vero vel propter ignaviam multum impellendi ſunt, vel propter animoſitatem nimiam magno cum labore demulcendi; pariter & negotium

manibus

βάτου παρέχουσιν, ἀθυμίαν δ' ἐν τοῖς κινδύνοις.

ΚΕΦ. δ'.

ΟΤαν γε μὴν ἀγασθεὶς ἵππον πρίηταί τις, καὶ οἴκαδε ἀγάγηται, καλὸν μὲν ἐν τοιούτῳ τῆς οἰκίας τὸν σταθμὸν εἶναι, ὅποι πλειστάκις ὁ δεσπότης ὄψεται τὸν ἵππον· ἀγαθὸν δὲ οὕτω κατεσκευάσθαι τὸν ἱππῶνα, ὥστε μηδὲν μᾶλλον οἷόν τ' εἶναι τὸν τοῦ ἵππου σῖτον κλαπῆναι ἐκ τῆς φάτνης, ἢ τὸν τοῦ δεσπότου ἐκ τοῦ ταμιείου. ὁ δὲ τούτου ἀμελῶν, ἐμοὶ μὲν ἑαυτοῦ δοκεῖ ἀμελεῖν. δῆλον γὰρ, ὅτι ἐν τοῖς κινδύνοις τὸ αὑτοῦ σῶμα τῷ ἵππῳ ὁ δεσπότης παρακατατίθεται.

β'. Ἔστι δὲ οὐ μόνον τοῦ μὴ κλέπτεσθαι ἕνεκα τὸν σῖτον ἀγαθὸς ὁ ἐχυρὸς ἱππὼν, ἀλλ' ὅτι καὶ ὅταν μὴ ἐκκομίζῃ τὸν σῖτον ὁ ἵππος, φανερὸν γίγνεται. τοῦτο δ' ἄν τις αἰσθανόμενος γιγνώσκοι, ὅτι ἢ τὸ * στόμα ὑπερεμοῦν δεῖται θεραπείας, ἢ κόπου ἐνόντος δεῖται ἀναπαύσεως, ἢ κριθία-

σις

manibus equitis exhibent, & in periculis exanimant.

CAP. IV.

JAM ubi quis equum ſibi probatum comparaverit, ac domum duxerit; commodum erit, ea parte domus eſſe ſtabulum, ubi dominus equum creberrime conſpiciet; commodum, ſic equile conſtrui, ut non magis equi pabulum è præſepi, quam domini cibus è penu ſubtrahi furto poſſit. Qua quidem in re qui negligens eſt, ſeipſum negligere mihi videtur. Nam perſpicuum eſt, dominum in periculis equo corpus ſuum credere.

2. Nec tantum hanc commoditatem habet equile munitum, ne pabulum furto ſubtrahatur; ſed etiam ut conſtet, quando pabulum equus è præſepi non egerat. Id vero ſi quis ſentiat, intelligat licet, vel os ejus ad nauſeam uſque humoris abundans, remedii alicujus indigere, vel laſſum (corpus) quiete reficiendum, vel ordei faſtidium,

σις ἢ ἄλλη τις ἀῤῥωστία ὑποδύεται. ἔστι δὲ ὥσπερ ἀνθρώπῳ, οὕτω καὶ ἵππῳ ἀρχόμενα πάντα εὐιατώτερα, ἢ ἐπειδὰν ἐνσκιῤῥωθῇ τε καὶ ἐξαμαρτηθῇ τὰ νοσήματα.

γ'. Ὥσπερ δὲ τῷ ἵππῳ σίτου τε καὶ γυμνασίων ἐπιμελητέον, ὅπως ἂν τὸ σῶμα ἰσχύῃ, οὕτω καὶ τοὺς πόδας ἀσκητέον. τὰ μὲν τοίνυν ὑγρά τε καὶ λεῖα τῶν σταθμῶν λυμαίνεται καὶ ταῖς εὐφυέσιν ὁπλαῖς. δεῖ δέ, ὡς μὲν μὴ ᾖ ὑγρά, εἶναι ἀπόῤῥυτα· ὡς δὲ μὴ λεῖα, λίθους ἔχοντα κατωρωρυγμένους πρὸς ἀλλήλους, παραπλησίους ὁπλαῖς τὸ μέγεθος. τὰ γὰρ τοιαῦτα σταθμὰ καὶ ἐφεστηκότων ἅμα στερεοῖ τοὺς πόδας.

δ'. Ἔπειτά γε μὴν τῷ ἱπποκόμῳ ἐξακτέον μὲν τὸν ἵππον ὅπου ψήξει, μεταδετέον δὲ μετὰ τὸ ἄριστον ἀπὸ τῆς φάτνης, ἵν' ἥδιον ἐπὶ τὸ δεῖπνον ἴῃ. ὡς ἂν αὖ ὁ ἔξω σταθμὸς βέλτιστος εἴη καὶ τοὺς πόδας καταῤῥωννύοι, λίθων στρογγύλων ἀμφιτόμων ὅσον μναιαίων ἁμάξας τέτταρας

dium, vel alium quendam languorem obrepere. Sunt autem omnia non aliter ac in homine, magis ab initio etiam in equo curabilia, quam ubi vel inhæſere morbo firmius, vel in eis peccatum fuerit.

3. Quemadmodum vero & pabuli, & exercitiorum equi ratio haberi debet, ut corpus robuſtum efficiatur; ita pedes quoque muniendi ſunt. Humida læviaque ſtabula bonas etiam à natura corrumpunt ungulas. Itaque ne ſtabula ſint humida, defluxum habere debent; ne lævia, lapides conjunctim defoſſos, qui magnitudine pares ſint ungulis. Nam hujuſmodi ſtabula pedes inſiſtentium lapidibus equorum ſolidiores efficiunt.

4. Secundum hæc in locum equus educendus curatori, quo deſtringatur; & poſt prandii pabulum ſolutis loris removendus à præſepi, quo jucundius ad pabulum veſpertinum accedat. Ut autem & ſtabulum exterius optimum ſit, & equi pedes corroboret; lapidum rotundorum palmarium, minæ pondus habentium, plauſtra

ρας καὶ πέντε χύδην καταβάλλοι περιχειλώσας σιδήρῳ, ὡς ἂν μὴ σκεδαννύωνται. ἐπὶ γὰρ τούτων ἑστηκώς, ὥσπερ ἐν ὁδῷ λιθώδει ἀεὶ μέρος τῆς ἡμέρας πορεύοιτο.

ε'. Ἀνάγκη δὲ καὶ ψηχόμενον καὶ μυωπιζόμενον κεχρῆσθαι ταῖς ὁπλαῖς καθάπερ ὅταν βαδίζῃ. καὶ τὰς χελιδόνας δὲ τῶν ποδῶν οἱ οὕτω κεχυμένοι λίθοι στερεοῦσιν. ὡς δὲ περὶ τῶν ὁπλῶν, ὅπως καρτεραὶ ἔσονται, οὕτως καὶ περὶ τὴν στόματος, ὅπως μαλακὰ ἔσται, ἐπιμελεῖσθαι δεῖ. τὰ δ' αὐτὰ ἀνθρώπου τε σάρκα καὶ ἵππου στόμα ἁπαλύνει.

ΚΕΦ. ε'.

Ἱππικοῦ δὲ ἀνδρὸς ἡμῖν δοκεῖ εἶναι, καὶ τὸν ἱπποκόμον πεπαιδεῦσθαι, ἃ δεῖ περὶ τὸν ἵππον πράττειν. πρῶτον μὲν τοίνυν τῆς ἐπιφατνιδίας φορβειᾶς ἐπίστασθαι αὐτὸν δεῖ μήποτε τὸ ἅμμα ποιεῖσθαι ἔνθα περ ἡ κορυφαία περιτίθεται. πολλάκις γὰρ κινῶν ὁ ἵππος ἐπὶ τῇ φάτνῃ τὴν κεφαλήν, εἰ

plaustra quatuor aut quinque passim substernat, & ferreo labro includat, ne diffundantur. Quippe dum his institerit, nunquam non diei partem aliquam velut in via lapidea ingrediendo exiget.

5. Necesse est etiam, ut ungulis perinde utatur, dum & destringitur, & pungitur, atque inter incedendum. Pedum quoque testudines à lapidibus hoc modo substratis solidantur. Sicut autem ungularum, quo firmæ sint; ita etiam oris, ut sit tenerum, cura geri debet. Eadem vero & hominis carnem, & os equi tenerius efficiunt.

CAP. V.

Videtur etiam nobis viri equestris esse, ut equisonem edoctum habeat, quomodo cum equo sit agendum. Ac primum scire hunc oportet, nunquam præsepialis capistri nodum ea parte capitis adstringendum, cui verticis habenæ adhiberi solent: Quum enim equus ad præsepe frequenter caput movere consueverit,

εἰ μὴ ἀσινὴς ἡ φορβιὰ περὶ τὰ ὦτα ἔσται, πολλάκις ἂν ἕλκη ποιοίη. ἑλκουμένων γε μὴν τούτων ἀνάγκη τὸν ἵππον καὶ περὶ τὸ χαλινοῦσθαι καὶ περὶ τὸ ψήχεσθαι δυσκολώτερον εἶναι.

β'. Ἀγαθὸν δὲ καὶ τὸ τετάχθαι τῷ ἱπποκόμῳ, καθ' ἡμέραν τὴν κόπρον καὶ τὰ ὑποστρώματα τοῦ ἵππου ἐκφέρειν εἰς ἓν χωρίον· τοῦτο γὰρ ποιῶν αὐτός τ' ἂν ῥᾷστα ἀπαλλάττοι, καὶ ἅμα τὸν ἵππον ὠφελοίη.

γ'. Εἰδέναι δὲ χρὴ τὸν ἱπποκόμον καὶ τὸν κημὸν περιτιθέναι τῷ ἵππῳ, καὶ ὅταν ἐπὶ ψῆξιν καὶ ὅταν ἐπὶ κυλίστραν ἐξάγῃ. καὶ ἀεὶ δὲ ὅποι ἂν ἀχαλίνωτον ἄγῃ, κημοῦν δεῖ. ὁ γὰρ κημὸς ἀναπνεῖν μὲν οὐ κωλύει, δάκνειν δὲ οὐκ ἐᾷ. καὶ τὸ ἐπιβουλεύειν δὲ περικείμενος μᾶλλον ἐξαιρεῖ τῶν ἵππων.

δ'. Καὶ μὴν δεσμεύειν τὸν ἵππον ἄνωθεν τῆς κεφαλῆς δεῖ. πάντα γὰρ, ὁπόσα ἂν δυσκολῇ περὶ τὸ πρόσωπον ὁ ἵππος, ἐκνεύειν πέφυκεν ἄνω. ἐκνεύων γε μὴν οὕτω δεδεμένος χαλᾷ μᾶλλον, ἢ διασπᾷ τὰ δεσμά.

ε'. Ἐπειδὰν

consueverit, nisi capistrum auribus ita sit adplicatum, ut non noceat; sæpenumero partes illas exulcerat. Ob eas autem exulcerationes fieri necesse est, ut equus & ad frænandum & ad destringendum se difficiliorem præbeat.

2. Fuerit hoc quoque bonum, ut equiso mandatum efferendi quotidie fimi, & stramentorum equi, unum aliquem in locum, habeat. Id enim si faciat, simul eo labore nullo negotio defungetur, & equo proderit.

3. Etiam sciat equiso camum equo admovendum, sive ad destrictionem, seu ad volutabrum educat. Adeoque semper, quocunque duxerit equum sine fræno, camum adhibere debet. Quippe camus ut respirationem non impedit, ita mordere non sinit: idemque si equis adhibitus sit, magis ab insidiis homini struendis avocat.

4. Supra caput adligari debet equus. Nam omnia, quæ circum os equo molesta contingunt, sursum elato capite declinare solet. Itaque sic adligatus si quid declinet, laxat potius vincula, quam rumpit.

5. Stri-

έ. Ἐπειδὰν δὲ ψήχῃ, ἄρχεσθαι μὲν ἀπὸ τῆς κεφαλῆς καὶ τῆς χαίτης. μὴ γὰρ καθαρῶν τῶν ἄνω ὄντων, μάταιον τὰ κάτω καθαίρειν. ἔπειτα δὲ κατὰ μὲν τὸ ἄλλο σῶμα πᾶσι τοῖς τῆς καθάρσεως ὀργάνοις ἀνιστάντα δεῖ τὰς τρίχας σοβεῖν τὴν κόνιν κατὰ φύσιν τῆς τριχός, τῶν δ' ἐν τῇ ῥάχει τριχῶν ἄλλῳ μὲν ὀργάνῳ οὐδενὶ δεῖ ἅπτεσθαι, ταῖς δὲ χερσὶ τρίβειν καὶ ἀπαλύνειν ᾗπερ φύσει κέκλινται. ἥκιστα γὰρ ἂν βλάπτοι τὴν ἕδραν τοῦ ἵππου.

ς'. Ὕδατι δὲ καταπλύνειν τὴν κεφαλὴν χρή. ὀστώδης γὰρ οὖσα, εἰ σιδήρῳ ἢ ξύλῳ καθαίροιτο, λυποῖ ἂν τὸν ἵππον. καὶ τὸ προκόμιον δὲ χρὴ βρέχειν. καὶ γὰρ αὗται εὐμήκεις οὖσαι αἱ τρίχες, ὁρᾶν μὲν οὐ κωλύουσι τὸν ἵππον, ἀποσοβοῦσι δὲ ἀπὸ τῶν ὀφθαλμῶν τὰ λυποῦντα. καὶ τοὺς θεοὺς δὲ οἴεσθαι χρὴ δεδωκέναι ταύτας τὰς τρίχας ἵππῳ ἀντὶ τῶν μεγάλων ὤτων, ἃ ὄνοις τε καὶ ἡμιόνοις ἔδοσαν ἀλεξητήρια περὶ τῶν ὀμμάτων.

ζ'. Καὶ οὐρὰν δέ, καὶ χαίτην πλύνειν χρή, ἐπείπερ αὔξειν δεῖ

5. Strigili uſurus, à capite ac juba incipiat. Nam fruſtra ſit, inferiora purgare, ſi ſuperiora necdum munda ſint. Deinde reliquo corpore cunctis ad expurgandos equos factis inſtrumentis erigere pilos, & pulverem extergere pro natura pilorum debet: at ſpinæ pilos alio nullo tanget inſtrumento, niſi quod manibus eos fricabit, & ſecundum naturalem eorum ſitum emolliet. Quippe ſic illam in equo ſellam quamminimum læſerit.

6. Aqua caput eluendum eſt. Quum enim oſſeum ſit, dolorem ſentiet equus, ſi ferro vel ligno purgetur. Juba quoque anterior humectanda. Quum enim prolixi ſunt hi capilli, ſicut equum in adſpiciendo non impediunt: ita depellunt ab oculis, ſi qua moleſta iis accidant. Deos quoque putandum, hos equo capillos aurium magnarum loco dediſſe, quas aſinis & mulis ad depellendas oculorum injurias conceſſerunt.

7. Eluenda quoque cauda cum juba, quo capilli creſcant; caudæ

δεῖ τὰς τρίχας, τὰς μὲν ἐν τῇ οὐρᾷ, ὅπως ἐπὶ πλεῖστον ἐξικνούμενος ἀποσοβῆται ὁ ἵππος τὰ λυποῦντα· τὰς δὲ ἐν τῷ τραχήλῳ, ὅπως τῷ ἀμβάτῃ ὡς ἀφθονωτάτη ἀντίληψις ᾖ.

η'. Δέδοται δὲ παρὰ θεῶν καὶ ἀγλαΐας ἕνεκα ἵππῳ χαίτη, καὶ προκόμιόν τε, καὶ οὐρά. τεκμήριον δέ· αἱ γὰρ ἀγελαῖαι τῶν ἵππων οὐχ ὁμοίως ὑπομένουσι τοὺς ὄνους ἐπὶ τῇ ὀχείᾳ, ἕως ἂν κομῶσιν. οὗ ἕνεκα καὶ ἀποκείρουσι πρὸς τὴν ὀχείαν τὰς ἵππους ἅπαντες οἱ ὀνοβατοῦντες.

θ'. Τὴν γε μὴν τῶν σκελῶν κατάπλυσιν ἀφαιροῦμεν· ὠφελεῖ μὲν γὰρ οὐδὲν, βλάπτει δὲ τὰς ὁπλὰς ἡ καθ' ἑκάστην ἡμέραν βρέξις. καὶ τὴν ὑπὸ γαστέρα δὲ ἄγαν κάθαρσιν μειοῦν χρή. αὕτη γὰρ λυπεῖ μὲν μάλιστα τὸν ἵππον. ὅσῳ δ' ἂν καθαρώτερα ταῦτα γένηται, τοσούτῳ πλείονα τὰ λυποῦντα ἀθροίζει ὑπὸ τὴν γαστέρα.

ι'. Ην δὲ καὶ πάνυ διαπονήσεταί τις ταῦτα, οὐ φθάνει τε ἐξαγόμενος ὁ ἵππος, καὶ εὐθὺς ὅμοιός ἐστι τοῖς ἀκαθάρτοις.

dæ quidem, ut eam longiſſime porrigens equus, abigere moleſta poſſit; colli vero, ut adminiculum, quod adprehendat conſcenſor, copioſum habeat.

8. Etiam venuſtatis cauſſa divinitus equo juba, capillus anterior, cauda contigit. Ejus argumentum hoc fuerit, quod equæ gregariæ non perinde aſinos ad coitum admittant, dum comatæ ſunt. Propterea tondent ad coitum equas omnes illi, qui volunt, ut ab aſinis ineantur.

9. Crura cæteris membris abluendis eximimus. Ut enim utilitatis nihil habet, ita etiam noxia eſt ungularum humectatio quotidiana. Nimia quoque repurgatio eorum, quæ ſub alvo ſunt, moderanda. Nam equo maximam illa moleſtiam exhibet, & quo partes eæ mundiores fuerint, eo plura ſub alvo dolorem equo concitantia colligunt.

10. Quod ſi maxime laborem in his perpetuum aliquis impenderit, non prius educitur equus, quin ſtatim ſimilis ſit immundis.

τοις. ταῦτα μὲν οὖν ἐᾶν χρή. ἀρκεῖ δὲ καὶ ἡ τῶν σκελῶν ψῆξις αὐταῖς ταῖς χερσὶ γιγνομένη.

ΚΕΦ. ϛ'.

ΔΗλώσομεν δὲ καὶ τοῦτο, ὡς ἂν ἀβλαβέστατα μὲν τις ἑαυτῷ, τῷ δὲ ἵππῳ ὠφελιμώτατα ψήχοι. ἢν μὲν γὰρ εἰς τὸ αὐτὸ βλέπων τῷ ἵππῳ καθαίρῃ, κίνδυνος καὶ τῷ γόνατι καὶ τῇ ὁπλῇ ἐς τὸ πρόσωπον πληγῆναι.

β'. Ἢν δὲ ἀντία τῷ ἵππῳ ὁρῶν καὶ ἔξω τοῦ σκέλους, ὅταν καθαίρῃ, κατὰ τὴν ὠμοπλάτην καθίζων ἀποτρίβῃ, οὕτω πάθοι μὲν ἂν οὐδὲν, δύναιτο δ' ἂν καὶ τὴν χελιδόνα τοῦ ἵππου θεραπεύειν ἀναπλύσων τὴν ὁπλήν. ὡς δὲ αὔτως καὶ τὰ ὄπισθεν σκέλη καθαιρέτω.

γ'. Εἰδέναι δὲ χρὴ τὸν περὶ τὸν ἵππον, ὅτι καὶ ταῦτα καὶ τἄλλα πάντα, ὅσα πράττειν δεῖ, ὡς ἥκιστα χρὴ κατὰ τὸ πρόσωπόν τε καὶ οὐρὰν ποιήσαντα προσιέναι. ἢν γὰρ ἐπι-

χειρῇ

mundis. Quapropter hæc omittenda sunt. Crurum quoque detersio, quæ duntaxat fit ipsis manibus, sufficit.

CAP. VI.

INdicabimus hoc etiam, quemadmodum aliquis suo cum damno minimo, & equi commodo maximo, defricatione utatur. Nam ita si detergat sordes, ut in eandem cum equo spectet partem; periculum erit, ne in faciem ab equo tum genu tum ungula percutiatur.

2. Sin adversus equum intuens, & extra crus ipsum inter detergendum ad scapulam constitutus defricuerit: nec ipse damni hoc modo quidquam acceperit, & possit itidem equi ungulam aperiendo testudini remedium adferre. Similiter & crura posteriora purget.

3. Saltim id observet, qui versatur apud equum; & hæc, & alia sane omnia, quæ fieri oportet, minime sic faciunda ut à fronte & à tergo accedatur. Quippe si utraque parte nocere

χρῄ ἀδικεῖν καὶ ἀμφότερα ταῦτα, κρείττων ὁ ἵππος ἀνθρώπου. ἐκ πλαγίου δ' ἄν τις προσιὼν, ἀβλαβέστατα μὲν ἑαυτῷ, πλεῖστα δ' ἂν ἵππῳ δύναιτο χρῆσθαι.

δ'. Ἐπειδὰν γε μὴν ἄγειν δέῃ τὸν ἵππον, τὸ μὲν ὄπισθεν ἀγωγὴν διὰ τάδε οὐκ ἐπαινοῦμεν, ὅτι τῷ μὲν ἄγοντι οὕτως ἥκιστά ἐστι φυλάξασθαι, τῷ δὲ ἵππῳ οὕτω μάλιστα ἔξεστι ποιῆσαι ὅ, τι ἂν βούληται.

ε'. Τὸ δ' αὖ ἔμπροσθεν μακρῷ τῷ ἀγωγεῖ προϊόντα διδάσκειν ὑφηγεῖσθαι τὸν ἵππον, διὰ τάδε αὖ ψέγομεν. ἔξεστι μὲν γὰρ τῷ ἵππῳ καθ' ὁποτέραν βούληται τῶν πλαγίων κακουργεῖν, ἔξεστι δὲ ἀναστρεφόμενον ἀντίον γίγνεσθαι τῷ ἄγοντι.

ϛ'. Ἀθρόοι δὲ δὴ ἵπποι πῶς ἄν ποτε ἀλλήλων δύναιντο ἀπέχεσθαι οὕτως ἀγόμενοι; ἐκ πλαγίου δὲ ἵππος ἐθισθεὶς παράγεσθαι, ἥκιστα μὲν ἂν καὶ ἵππους καὶ ἀνθρώπους δύναιτ' ἂν κακουργεῖν, κάλλιστα δ' ἂν παρεσκευασμένος τῷ ἀναβάτῃ εἴη καὶ εἴποτε ἐν τάχει ἀναβῆναι δεήσειεν.

ζ'. Ἵνα

re homini equus adgrediatur, viribus homine ſuperior eſt. At ſi quis à latere adierit, is minimo cum damno ſuo, multa cum equo poterit agere.

4. Jam ubi ducendus eſt equus, ut aliquis à tergo ſequens eum ducat, propterea non probamus, quia ductor hoc modo minime ſibi cavere poteſt, & equo facere nullo negotio licet omnia quæ vult.

5. Rurſus ut aliquis antecedens à fronte, longo cum loro ductorio, doceat equum ſubſequi, propter has cauſſas reprehendimus, quod equo nocere liceat, utrocumque velit à latere, atque etiam ſe convertere poſſit, & in ductorem adverſum irruere.

6 Quod ſi plures equi ſic ducantur, quinam fiet ut à ſe invicem abſtineant? Qui vero à latere duci conſuevit equus, is minime nec equos nec homines lædere poſſit, & equiti commodiſſime paratus ad manum fuerit, ſi quando celeriter in eum ſit adſcendendum.

7. Ut

ζʹ. Ἵνα δὲ ὁ ἱπποκόμος καὶ τὸν χαλινὸν ὀρθῶς ἐμβάλῃ, πρῶτον μὲν προσίτω κατὰ τὰ ἀριστερὰ τοῦ ἵππου. ἔπειτα τὰς μὲν ἡνίας περιβαλὼν περὶ τὴν κεφαλήν, καταθέτω ἐπὶ τῇ ἀκρωμίᾳ, τὴν δὲ κορυφαίαν τῇ δεξιᾷ αἱρέτω, τὸ δὲ στόμιον τῇ ἀριστερᾷ προσφερέτω.

ηʹ. Κἂν μὲν δέχηται, δηλονότι περιτιθέναι δεῖ τὸν κεκρύφαλον· ἐὰν δὲ μὴ ὑποχάσκῃ, ἔχοντα δεῖ πρὸς τοῖς ὀδοῦσι τὸν χαλινὸν τὸν μέγαν δάκτυλον τῆς ἀριστερᾶς χειρὸς εἴσω τῆς γνάθου τῷ ἵππῳ ποιῆσαι. οἱ γὰρ πολλοὶ τούτου γιγνομένου χαλῶσι τὸ στόμα. ἢν δὲ μηδὲ οὕτω δέχηται, πιεσάτω τὸ χεῖλος περὶ τῷ κυνόδοντι. καὶ πάνυ τινὲς ὀλίγοι, οὐ δέχονται τοῦτο πάσχοντες.

θʹ. Δεδιδάχθω δὲ καὶ τάδε ὁ ἱπποκόμος. πρῶτον μὲν, μήποτε ἄγειν ταῖς ἡνίαις τὸν ἵππον. τοῦτο γὰρ ἑτερογνάθους ποιεῖ. ἔπειτα δὲ ὅσον δεῖ, ἀπέχειν τὸν χαλινὸν τῶν γνάθων, ὥστε μὴ ἀναίσθητον εἶναι. ὁ μὲν γὰρ ἄγαν πρὸς αὐταῖς τυλοῖ τὸ στόμα· ὁ δ᾽ ἄγαν εἰς ἄκρον τὸ στόμα καθιέμενος, ἐξουσίαν

7. Ut autem curator equo frænum etiam recte injiciat, ad lævum latus equi primum accedat; deinde circum caput habenas injiciens, in summis armis eas deponat, verticisque lorum dextra tollat, læva lupos admoveat.

8. Hos si admittat, totum fræni reticulum ei scilicet induendum erit. Sin os pandere nolit, frænum equi dentibus adhibendo digitus maximus sinistræ buccæ inseratur. Nam plerique, si hoc fiat, os laxant. Si ne ita quidem admittat, labrum ad dentem, qui caninus dicitur, premat. Paucissimi quidem, si hoc eis accidat, frænum non recipiunt.

9. Etiam in his instructus sit curator. Primum, ne ducat equum habenis. Sic enim pars oris altera fit durior. Deinde, ut à maxillis intervallo conveniente frænum sic absit, ut sensus ejus equum non fugiat: Nam si valde maxillis incumbat, ori callum obducit. At si nimis ad os extremum demittatur, potestatem

ουσίαν παρέχει συνδάκνοντι τὸ στόμιον μὴ πείθεσθαι.

ι'. * Χρὴ δὲ τὸν ἱπποκόμον καὶ τὰ τοιάδε παρωξύνθαι, εἴ τι δεῖ πονεῖν. οὕτω γὰρ δὴ μέγα ἐστὶ, τὸ λαμβάνειν ἐθέλειν τὸν ἵππον τὸν χάλινον, ὡς ὁ μὴ δεχόμενος παντάπασιν ἄχρηστος.

ια'. Ην δὲ μὴ μόνον ὅταν πονεῖν μέλλῃ χαλινῶται, ἀλλὰ καὶ ὅταν ἐπὶ τὸν σῖτον, καὶ ὅταν ἐξ ἱππασίας εἰς οἶκον ἀπάγηται, οὐδὲν ἂν εἴη θαυμαστὸν, εἰ ἁρπάζοι τὸν χαλινὸν αὐτόματος προτεινόμενον.

ιβ'. Αγαθὸν δὲ τὸν ἱπποκόμον καὶ ἀναβάλλειν ἐπίστασθαι τὸν Περσικὸν τρόπον, ὅπως αὐτός τε ὁ δεσπότης, ἤν ποτε ἀῤῥωστήσῃ, ἢ πρεσβύτερος γίγνηται, ἔχῃ τὸν εὐπετῶς ἀναβιβάζοντα, καὶ ἄλλῳ, ἤν τινι βούληται, τὸν ἀναβαλοῦντα ἐπιχαρίσηται.

ιγ'. Τὸ δὲ μή ποτε σὺν ὀργῇ τῷ ἵππῳ προσφέρεσθαι, ἓν τοῦτο καὶ δίδαγμα καὶ ἔθισμα πρὸς ἵππον ἄριστον. ἀπρονόητον γὰρ

tem præbet equo ſe contumaciter gerendi, ſi frænum ſimul mordeat.

10. Et in his acrem eſſe curatorem convenit, ſi qua alia in re ſit elaborandum. Quippe tantum in hoc momenti ſitum eſt, ut equus admittere frænum velit; ut ſi quis non admittat, omnino inutilis ſit.

11. Quod ſi non tantum frænetur, ubi laborandum eſt equo, verumetiam quum ad pabulum ducitur, & quum ex agitatione domum reducitur; mirum non ſit, frænum oblatum ab eo ſponte rapi.

12. Bonum hoc quoque, ſcire curatorem, quo pacto ſeſſor more Perſico in equum ſuſtollendus ſit: ut & ipſe dominus, ſi morbo languerit, aut provectior fiat, habeat hominem, à quo facile imponatur in equum; & alteri, cui velit, gratificari queat, hominem concedendo à quo ſuſtollatur.

13. Unum autem hoc ad equos & præceptum & inſtitutum eſt optimum; nunquam ut iracunde cum equo agatur. Nam ira quiddam eſt inconſideratum.

γὰρ ἡ ὀργή, ὥστε πολλάκις ἐξεργάζεται ὧν μεταμέλειν ἀνάγκη.

ιδʹ. Καὶ ὅταν δὲ ὑποπτεύσας τι ὁ ἵππος μὴ θέλῃ πρὸς τοῦτο προσιέναι, διδάσκειν δεῖ, ὅτι οὐ δεινά ἐστι, μάλιστα μὲν σὺν ἵππῳ εὐκαρδίῳ· εἰ δὲ μή, ἁπτόμενον * αὐτὸν τοῦ δεινοῦ δοκοῦντος εἶναι, καὶ τὸν ἵππον πράως προσάγοντα.

ιεʹ. Οἱ δὲ πληγαῖς ἀναγκάζοντες ἔτι πλείω φόβον παρέχουσιν. οἴονται γὰρ οἱ ἵπποι, ὅταν τι χαλεπὸν πάσχωσιν ἐν τῷ τοιούτῳ, καὶ τούτου τὰ ὑποπτευόμενα αἴτια εἶναι.

ιϛʹ. Ἐπειδάν γε μὴν ὁ ἱπποκόμος τὸν ἵππον παραδιδῷ τῷ ἀναβάτῃ, τὸ μὲν ἐπίστασθαι ὑποβιβάζεσθαι τὸν ἵππον, ὥστε εὐπετὲς εἶναι ἀναβῆναι, οὐ μεμφόμεθα. τόν γε μέντοι ἱππέα νομίζομεν χρῆναι μελετᾶν καὶ μὴ παρέχοντος ἵππου δύνασθαι ἀναβαίνειν. ἄλλοτε μὲν γὰρ ἀλλοῖος ἵππος παραπίπτει, ἄλλοτε δὲ ἄλλῳ ὁ αὐτὸς ὑπηρετεῖ.

ΚΕΦ.

tum. Itaque sæpenumero facit ea quorum pœnitere necesse sit.

14. Quum etiam suspectum aliquid habens equus, id adire non vult; docendus est, in eo nihil esse terribile, præsertim equo animoso: sin id fieri nequeat, equitem ipsum adtingere oportet id, quod terribile videtur, equum leniter adducendo.

15. Qui vero verberibus eos cogunt, etiam metum majorem incutiunt. Putant enim equi, quum interim aliquid grave ferunt, etiam id ab illo, quod suspectum habent, proficisci.

16. Quum sessori curator equum tradit, non improbamus sane, si norit equum sic ei subjicere, quo facilis adscensus sit. Ipsum tamen equitem in hoc exercere se debere ducimus, ut etiam equo se non præbente conscendere possit. Nam aliquando alius atque alius equus offertur, & idem equus alias alii inservit.

CAP.

ΚΕΦ. ζʹ.

Ὅταν γε μὴν παραδέξηταί τις τὸν ἱππέα ὡς ἀναβησόμενος, νῦν αὖ γράψομεν, ὅσα ποιῶν ὁ ἱππεὺς καὶ ἑαυτῷ καὶ τῷ ἵππῳ ὠφελιμώτατος ἂν ἐν τῇ ἱππικῇ εἴη. πρῶτον μὲν τοίνυν τὸν ῥυταγωγέα χρὴ ἐκ τοῦ ὑποχαλινιδίας ἢ ἐκ τοῦ ψαλίου ἠρτημένον εὐτρεπῆ εἰς τὴν ἀριστερὰν χεῖρα λαβεῖν, καὶ οὕτω χαλαρόν, ὡς μήτ᾽ ἂν ἀνιμῶν τῶν τριχῶν παρὰ τὰ ὦτα λαβόμενος μέλλῃ ἀναβήσεσθαι, μήτε ἂν ἀπὸ δόρατος ἀναπηδᾷ, σπᾷν τὸν ἵππον. τῇ δεξιᾷ δὲ τὰς ἡνίας παρὰ τὴν ἀκρωμίαν λαμβανέτω ὁμοῦ τῇ χαίτῃ, ὅπως μηδὲ καθ᾽ ἕνα τρόπον ἀναβαίνων σπάσῃ τῷ χαλινῷ τὸ στόμα τοῦ ἵππου.

βʹ. Ἐπειδὰν δὲ ἀνακουφίσῃ ἑαυτὸν εἰς τὴν ἀνάβασιν, τῇ μὲν ἀριστερᾷ ἀνιμάτω τὸ σῶμα, τὴν δὲ δεξιὰν ἐκτείνων συνεπαιρέτω ἑαυτόν, (οὕτω γὰρ ἀναβαίνων οὐδὲ ὄπισθεν αἰσχρὰν θέαν παρέξει) συγκεκαμμένῳ δὲ τῷ σκέλει, καὶ μήτε τὸ γόνυ

ἐπὶ

CAP. VII.

JAM quum eques aliquis acceperit equum, tanquam in eum conſcenſurus; ſcribendum modo, quæ facere debeat eques, ut in re equeſtri tam ſibi quam equo plurimum conferat. Primo lorum ductorium, ad inferiorem fræni partem, vel ad menti catenam religatum, commode manu ſiniſtra ſumat, & ita laxum, ut nec in adſcendendi conatu, ſublevandi ſui cauſſa jubas equinas ad aures prehendens, nec ab haſta inſiliens, equum convellat. Dextra ſumat habenas juxta ſummos armos, una cum juba: ne ullo modo inter adſcendendum os equi fræno torqueat.

2. Poſteaquam ad conſcenſum ſe leviorem reddiderit, ſiniſtra corpus ſublevet; ſimul dextram extendens, ſe ſuſtollat. Nam ita conſcendens, ne quidem à tergo deforme ſpectaculum exhibebit. Et fient hæc inflexo crure, ne genu quidem

in

ἐπὶ τὴν ῥάχιν τοῦ ἵππου τιθέτω, ἀλλ᾽ ὑπερβησάτω ἐπὶ τὰς δεξιὰς πλευρὰς τὴν κνήμην. ὅταν δὲ περιενέγκῃ τὸν πόδα, τότε καὶ τὼ γλουτὼ καταθέτω ἐπὶ τὸν ἵππον.

γ΄. Ἢν δὲ τύχῃ ὁ ἱππεὺς τῇ μὲν ἀριστερᾷ ἄγων τὸν ἵππον, τῇ δὲ δεξιᾷ τὸ δόρυ ἔχων, ἀγαθὸν μὲν ἡμῖν δοκεῖ εἶναι τὸ καὶ ἐκ τῶν δεξιῶν μελετῆσαι ἀναπηδᾷν. μαθεῖν δ᾽ οὐδὲν δεῖ ἄλλο, ἢ ἃ μὲν τότε τοῖς δεξιοῖς τοῦ σώματος ἐποίει, τοῖς ἀριστεροῖς ποιεῖν· ἃ δὲ τότε τοῖς ἀριστεροῖς, τοῖς δεξιοῖς.

δ΄. Τούτου δὲ ἕνεκα καὶ ταύτην ἐπαινοῦμεν τὴν ἀνάβασιν, ὅτι ἅμα τε ἀναβεβηκὼς ἂν εἴη καὶ κατεσκευασμένος πάντα, εἴτι δέοι ἐξαίφνης πρὸς πολεμίους ἀγωνίζεσθαι.

ε΄. Ἐπειδὰν γε μὴν καθίζηται, ἐάν τε ἐπὶ ψιλοῦ, ἐάν τε ἐπὶ τοῦ ἐφιππίου, οὐ τὴν ὥσπερ ἐπὶ τοῦ δίφρου ἕδραν ἐπαινοῦμεν, ἀλλὰ τὴν ὥσπερ ὀρθῶς ἂν διαβεβηκὼς εἴη τοῖν σκελοῖν. τοῖν τε γὰρ μηροῖν οὕτως ἂν ἔχοιτο μᾶλλον τοῦ ἵππου, καὶ ὀρθὸς ὢν, ἐρρωμενεστέρως ἂν δύναιτο καὶ ἀκοντίσαι καὶ πατάξαι ἀπὸ τοῦ ἵππου, εἰ δέοι.

ϛ΄. Χρὴ

in equi dorſum imponendo; ſed in latus dextrum tibia trajiciatur. Ubi pedem circumactum in alteram partem tranſtulerit, tunc etiam equo clunes imponat.

3. Bonum quoque nobis eſſe videtur, ut etiam à dextro latere in equum inſiliendi uſum aliquis ſibi paret; ſi forte contingat, ut eques ſiniſtra ducat equum, haſtam dextra teneat. Nec aliud heic diſcendum, quam ut ſiniſtris partibus corporis ea peragat, quæ illic dextris faciebat; quæ ſiniſtris illic, jam dextris heic agat.

4. Et laudamus hanc adſcenſionem, propterea quod hoc modo ſimul atque conſcenderit equum, paratus ſit ad omnia, ſi forte ſubito pugnandum ſit adverſus hoſtes.

5. Ubi jam inſederit vel equo nudo, vel ephippio, non laudamus ſeſſionem, qualis eſt in curru; ſed eam, quæ cruribus divaricatis equitem velut erigit. Sic enim & femoribus equo firmius adhærebit, & erectus tam jacula vibrare quam ferire validius ex equo, ſi ferat uſus, poterit.

6. Ti-

ϛ'. Χρὴ δὲ καὶ χαλαρὰν ἀπὸ τοῦ γόνατος ἀφεῖσθαι τὴν κνήμην σὺν τῷ ποδί. σκληρὸν μὲν γὰρ ἔχων τὸ σκέλος, εἰ προσκόψειέ τῳ, προσκεκλασμένος ἂν εἴη. ὑγρὰ δὲ οὖσα ἡ κνήμη, εἴ τι καὶ προσπίπτοι αὐτῇ, ὑπείκοι ἂν, καὶ τὸν μηρὸν οὐδὲν μετακινοίη.

ζ'. Δεῖ δὲ τὸν ἱππέα καὶ τὸ ἄνωθεν τῶν ἑαυτοῦ ἰσχίων σῶμα ὡς ὑγρότατον ἐθίζειν εἶναι. οὕτω γὰρ ἂν πονεῖν ἔτι μᾶλλον δύναιτο, καὶ, εἰ ἕλκοι τις αὐτὸν, ἢ ὠθοίη, ἧττον ἂν σφάλλοιτο.

η'. Επειδὰν γε μὴν καθίζηται, πρῶτον μὲν ἠρεμεῖν δεῖ διδάσκειν τὸν ἵππον, ἕως ἂν καὶ ὑποσπάσηται ἤν τι δέηται, καὶ ἡνίας ἰσώσηται, καὶ δόρυ λάβῃ ὡς ἂν εὐφορώτατον εἴη. ἔπειτα δὲ ἐχέτω τὸν ἀριστερὸν βραχίονα πρὸς ταῖς πλευραῖς. οὕτω γὰρ εὐσταλέστατός τε ὁ ἱππεὺς ἔσται, καὶ ἡ χεὶρ ἐγκρατεστάτη.

θ'. Ηνίας γε μὴν ἐπαινοῦμεν, ὁποῖαι ἴσαι τέ εἰσι, καὶ μὴ ἀσθενεῖς, μηδὲ ὀλισθηραὶ, μηδὲ παχεῖαι· ἵνα καὶ τὸ δόρυ, ὅταν δέῃ, δέχεσθαι ἡ χεὶρ δύνηται.

ι'. Οταν

6. Tibiam quoque cum pede fluxam ac liberam inde uſque à genu demittere oportet. Nam ſi quis crure rigido in aliquid impegerit, etiam crus fortaſſe fregerit. At tibia fluxa, licet aliquid in eam impingat, & cedere poſſit & femur loco ſuo non moverit.

7. Debet etiam eques ita corporis ſui partes, quæ ſupra coxas ſunt, exercere conſuefaciendo, ut quammaxime ſint agiles. Sic enim & laboribus magis ſuffecerit, ac ſi quis eum vel trahat, vel trudendo impellat, minus everti poſſit.

8. Ubi jam inſidet equo, primum docere debet eum, ut placide quieſcat, donec ſubduxerit ipſe, ſi quid oporteat, & habenas æquales reddiderit, & haſtam ita ſumpſerit, ut geſtari facillime poſſit. Deinde brachium ſiniſtrum lateri admotum teneat. Hic enim geſtus equitem maxime decet; ac manui robur inprimis addit.

9. Habenas laudamus æquales, non fragiles, nec lubricas, nec craſſas: ut ea manus, quoties opus eſt, haſtam quoque prehendere poſſit.

 10. Signo

ι. Ὅταν δὲ προχωρεῖν σημήνῃ τῷ ἵππῳ, βάδην μὲν ἀρχέσθω· τοῦτο γὰρ ἀταρακτότατον. ἡνιοχείτω δέ, ἢν μὲν κυφαγωγότερος ᾖ ὁ ἵππος, ἀνωτέρω ταῖς χερσίν· ἢν δὲ μᾶλλον ἀνακεκυφώς, κατωτέρω· οὕτω γὰρ ἂν μάλιστα κοσμοίη τὸ σχῆμα.

ια'. Μετὰ δὲ ταῦτα τῇ αὐτοφυῇ διατροχάζων, διαχαλῴη τ' ἂν ἀλυπότατα τὸ σῶμα, καὶ εἰς τὸ ἐπιῤῥαβδοφορεῖν ἥδιστ' ἂν ἀφικνοῖτο. ἐπειδὴ περ καὶ ἀπὸ τῶν ἀριστερῶν ἄρχεσθαι εὐδοκιμώτερον, ὧδ' ἂν μάλιστα ἀπὸ τούτων ἄρχοιτο, εἰ διατροχάζοντος μὲν ὁπότε ἀναβαίνοι τῷ δεξιῷ, τότε σημαίνοι τῷ ἵππῳ τῷ ἐπιῤῥαβδοφορεῖν.

ιβ'. Τὸ γὰρ ἀριστερὸν μέλλων αἴρειν, ἐκ τούτου ἂν ἄρχοιτο· καὶ ὁπότε ἐπὶ τὰ εὐώνυμα ἀναστρέφοι, τότε καὶ τῆς ἐπικλίσεως ἂν ἄρχοιτο. καὶ γὰρ πέφυκεν ὁ ἵππος εἰς μὲν τὰ δεξιὰ στρεφόμενος, τοῖς δεξιοῖς ἀφηγεῖσθαι· εἰς εὐώνυμα δέ, τοῖς ἀριστεροῖς.

ιγ'. Ἱππασίαν δ' ἐπαινοῦμεν τὴν πέδην καλουμένην. ἐπ' ἀμφοτέρας γὰρ τὰς γνάθους στρέφεσθαι ἐθίζει.

καὶ

10. Signo dato, ut equus progrediatur; pedetentim fiat initium: nam in hoc minimum eſt perturbationis. Habenas, ſi cernuus incedat equus, manibus ſuperiori earum parte teneat: ſin erectiori capite, inferius: hoc enim formam equi maxime decoraverit.

11. Secundum hæc ſi naturali curſitet inceſſu, reddetur corpus ejus abſque moleſtia laxius, & libentiſſime ad virgæ incitationem accedet. Quum vero magis probetur, ut à ſiniſtris initium fiat: ita maxime hinc incipiet, ſi equo poſt conſcenſionem ad dexteram currente, ſignum ei virga dederit.

12. Quippe dum ſiniſtrum ſumere vult, hinc incipiet; & ubi ad ſiniſtram ſe convertit, tunc & inflexionis initium faciet. Solet enim equus, ſi convertatur ad dextram, dextris inſiſtere; ſi ad lævam, ſiniſtris.

13. Eam vero laudamus equorum agitationem, quæ pedicæ nomen habet. Nam adſuefacit equos, ut ab utraque maxillarum

parte

καὶ τὸ μεταβάλλεσθαι δὲ τὴν ἱππασίαν ἀγαθόν, ἵνα ἀμφότεραι αἱ γνάθοι καθ' ἑκατέραν τὴν ἱππασίαν ἰσάζωνται.

ιδ'. Ἐπαινοῦμεν δὲ καὶ τὴν ἑτερομήκη πέδην μᾶλλον τῆς κυκλοτεροῦς. ἥδιον μὲν γὰρ οὕτως ἀναστρέφοιτο ὁ ἵππος, ἤδη πλήρης ὢν τοῦ εὐθέος, καὶ τό, τε ὀρθοδρομεῖν καὶ τὸ ἀποκάμπτειν ἅμα μελετῴη ἄν.

ιε'. Δεῖ δὲ καὶ ὑπολαμβάνειν ἐν ταῖς στροφαῖς. οὐ γὰρ ῥᾴδιον τῷ ἵππῳ, οὐδ' ἀσφαλὲς ἐν τῷ τάχει ὄντα κάμπτειν ἐν μικρῷ, ἄλλως τε κἂν ἀπόκροτον ἢ ὀλισθηρὸν ᾖ τὸ χωρίον.

ιϛ'. Ὅταν γε μὴν ὑπολαμβάνῃ, ὡς ἥκιστα μὲν χρὴ τὸν ἵππον πλαγιοῦν τῷ χαλινῷ, ὡς ἥκιστα δ' αὐτὸν πλαγιοῦσθαι. εἰ δὲ μή, εὖ χρὴ εἰδέναι, ὅτι μικρὰ πρόφασις ἀρκέσει κεῖσθαι καὶ αὐτὸν καὶ τὸν ἵππον.

ιζ'. Ἐπειδὰν γε μὴν ἐκ τῆς στροφῆς εἰς τὸ εὐθὺ βλέπῃ ὁ ἵππος, ἐν τούτῳ πρὸς τὸ θᾶττον αὐτὸν ὁρμάτω. δῆλον γάρ, ὅτι καὶ ἐν τοῖς πολεμίοις αἱ στροφαὶ εἰσιν, ἢ τοῦ διώκειν,

parte convertantur. Et mutare motum equi bonum eſt, ut utraque agitationis ratione ſimiles ſibi maxillæ fiant ambæ.

14. Laudamus & pedicam altera parte longiorem potius quam rotundam. Sic enim libentius convertetur equus, jam recti curſus ſatur; & ſimul ad curſum rectum, & ad inflexionem exercebitur.

15. Etiam inhibendi ſunt in reflectionibus equi. Nec enim vel facile, vel tuto fieri poteſt; ut equus in curſu citatiore paullo momento ſe reflectat; præſertim ſi locus ſalebroſus ſit, aut lubricus.

16. Inter inhibendum quamminime fræno flectendus in obliquum equus, nec in alterum latus ipſi ſeſſori procumbendum. Cæteroquin ei ſciendum, levem ſuffecturam occaſionem ad hoc, ut tam ipſe quam equus humi jaceant.

17. Ubi jam poſt inflexionem directe proſpiciet equus, tum vero ad celeritatem incitandus erit. Nimirum conſtat, in bellis quoque fieri reflexiones, vel hoſtem inſequendi,

κειν, ἢ τῆς ἀποχωρήσεως ἕνεκα. ἀγαθὸν οὖν τὸ στραφέντα ταχύνειν μελετᾷν.

ιη'. Ὅταν δὲ ἱκανῶς ἤδη δοκῇ τὸ γυμνάσιον τῷ ἵππῳ ἔχειν, ἀγαθὸν καὶ διαπαύσαντα ὁρμῆσαι ἐξαίφνης εἰς τὸ τάχιστον, καὶ ἀφ' ἵππων μέντοι καὶ πρὸς ἵππους· καὶ ἐκ τοῦ τάχους αὖ ὡς ἐγγυτάτω ἠρεμίζειν, καὶ ἐκ τοῦ ἑστάναι δὲ στρέψαντα δεῖ πάλιν ὁρμᾷν. πρόδηλον γὰρ, ὅτι ἔσται ποτὲ, ὅτε ἑκατέρου τούτων δεήσει.

ιθ'. Ὅταν γε μὴν καταβαίνειν ἤδη καιρὸς ᾖ, μήτε ἐν ἵπποις ποτὲ καταβαίνειν, μήτε παρὰ συστάσιν ἀνθρώπων, μήτε ἔξω τῆς ἱππασίας, ἀλλ' ὅπουπερ καὶ πονεῖν ἀναγκάζεται ὁ ἵππος, ἐνταῦθα καὶ τῆς ῥᾳστώνης τυγχανέτω.

ΚΕΦ. η'.

Ἐπειδὴ γάρ ἐστιν ὅπου τρέχειν δεήσει τὸν ἵππον καὶ πρανῆ καὶ ὄρεια καὶ πλάγια, ἔστι δὲ ὅπου διαπηδᾷν, ἔστι

quendi, vel receptus caussa. Quapropter utile est equos exercere, ut reflexi cursu celeriore ferantur.

18. Posteaquam exercitii satis habere jam videbitur equus, bonum erit etiam post quietem eum subito ad cursum celerrimum incitare, tam ab equis aliis quam in equos; rursumque ab hac celeritate proximo quodam in loco quiescere, ac ubi steterit aliquamdiu, denuo reflexum incitare. Quippe manifestum est, venturum aliquando tempus, quo amborum usus ei futurus sit necessarius.

19. Ubi jam descendendi tempus erit, non hoc fiat inter equos, nec juxta cœtum aliquem hominum, nec extra spatium agitationis: sed quo loco laborem equus perferre cogitur, ibidem & requiete potiatur.

CAP. VIII.

Et quoniam equo nonnunquam currendum erit per declivia, montuosa, transversa; nonnunquam transiliendum, & ex-

ἔστι δὲ ὅπου καὶ ἐκπηδᾶν, ἔνθα δὲ καὶ καθάλλεσθαι, καὶ ταῦτα πάντα διδάσκειν τε δεῖ καὶ μελετᾶν καὶ αὐτὸν καθόλου, καὶ τὸν ἵππον. οὕτω γὰρ ἂν σωτήριοί τε εἶεν ἀλλήλοις, καὶ χρησιμώτεροι ἂν δοκοῖεν εἶναι.

β'. Εἰ δέ τις διλογεῖν ἡμᾶς οἴεται, ὅτι περὶ τῶν αὐτῶν λέγομεν νῦν τε καὶ πρόσθεν, οὐ διλογία ταῦτά ἐστιν. ὅτε μὲν γὰρ ἐωνεῖτο, πειρᾶσθαι ἐκελεύομεν, εἰ δύναιτο ὁ ἵππος ταῦτα ποιεῖν· νῦν δὲ διδάσκειν φαμὲν χρῆναι τὸν ἑαυτοῦ, καὶ γράψομεν, ὡς δεῖ διδάσκειν.

γ'. Τὸν μὲν γὰρ παντάπασιν ἄπειρον τοῦ διαπηδᾶν λαβόντα δεῖ τοῦ ἀγωγέως καταβεβλημένου προδιαβῆναι αὐτὸν τὴν τάφρον. ἔπειτα δ' ἐντείνειν δεῖ τῷ ἀγωγεῖ, ὡς διάλληται.

δ'. Ην δὲ μὴ ἐθέλῃ, ἔχων τις μάστιγα ἢ ῥάβδον ἐμβαλέτω ὡς ἰσχυρότατα· καὶ οὕτως ὑπεραλεῖται οὐ τὸ μέτρον, ἀλλὰ πολὺ πλέον τοῦ καιροῦ. καὶ τὸ λοιπὸν οὐδὲν δεήσει παίειν, ἀλλ' ἐὰν μόνον ἴδῃ ὄπισθέν τινα ἐπελθόντα, ἁλεῖται.

ε'. Επει-

exſiliendum, & deſiliendum; ad iſtæc omnia prorſus & inſtituere & exercere tam ſeipſum quam equum debet. Hoc enim modo & ſalutaris alter alteri fuerit, & utilis.

2. Si quis autem nos eadem bis repetere putat, qui de iiſdem & prius & nunc loquamur; ſane non hoc eſt, bis dicere. Nam in emtione periculum fieri jubebamus, an equus hæc præſtare poſſet; nunc unicuique ſic equum ſuum docendum dicimus, & docendi rationem litteris prodemus.

3. Nam qui tranſiliendi rudem prorſus accepit equum, is humi demiſſo loro ductorio, prior ipſe tranſire foſſam debet: deinde loro ductorio ſic urgendus equus, ut tranſiliat.

4. Si nolit, flagellum aliquis aut virgam totis viribus adhibeat. Ita non ſolum id ſpatium, ſed majus etiam quam oportebit, tranſiliet; ac deinceps non opus erit verberibus, ſed ubi duntaxat accedentem à tergo quendam conſpexerit, ſaltabit.

5. Poſt-

έ. Ἐπειδὰν δὲ οὕτω διαπηδᾷν ἐθισθῇ, καὶ ἀναβεβηκὼς ἐπαγέτω τὸ μὲν πρῶτον ἐπὶ μικράς, ἔπειτα δὲ καὶ μείζους. ὅταν δὲ μέλλῃ πηδᾷν, παισάτω αὐτὸν τῷ μύωπι. ὡσαύτως δὲ καὶ τὸ ἀναπηδᾷν καὶ τὸ καταπηδᾷν διδάσκων, παισάτω τῷ μύωπι. ἀθρόῳ γὰρ τῷ σώματι ταῦτα πάντα ποιῶν, καὶ ἑαυτῷ ὁ ἵππος καὶ τῷ ἀναβάτῃ ἀσφαλέστερον ποιήσει μᾶλλον, ἢ ἂν ἐλλείπῃ τὰ ὄπισθεν ἢ διαπηδῶν, ἢ ἀνορούων, ἢ καθαλλόμενος.

ϛ'. Εἴς γε μὴν τὸ κάταντες πρῶτον χρὴ ἐν μαλακῷ χωρίῳ διδάσκειν. καὶ τελευτῶν, ἐπειδὰν τοῦτο ἐθισθῇ, πολὺ ἥδιον τὸ πρανὲς ἢ ὄρθιον δραμεῖται. ἃ δὲ φοβοῦνταί τινες, μὴ ἀπορρηγνύωνται τοὺς ὤμους κατὰ τὰ πρανῆ ἐλαυνόμενοι, θαρρούντων· μαθόντες, ὅτι Πέρσαι καὶ Ὀδρύσαι ἅπαντες εἰς τὰ κατάντη ἁμιλλώμενοι, οὐδὲν ἧττον τῶν Ἑλλήνων ὑγιεῖς τοὺς ἵππους ἔχουσι.

ζ'. Παρήσομεν δὲ οὐδὲ ὅπως τῷ ἀναβάτῃ ὑπηρετεῖν δεῖ πρὸς ἕκαστα τούτων. χρὴ γὰρ ὁρμῶντος μὲν ἐξαίφνης ἵππου,

5. Postquam ita transilire adsueverit, etiam conscensum primo deducat ad minores, inde majores, fossas. Quum vero jam saltaturus est, calcaribus eum pungat. Similiter & quum eum exsilire, & quum desilire docet, calcaribus exstimulet. Nam si hæc omnia toto simul corpore faciat equus, tam sibimet ipsi quam sessori minore cum periculo præstabit; quam si vel in transiliendo, vel sursum proruendo, vel desiliendo, à tergo posteriora deficiant.

6. Ad declivia primum instituendus est in solo molli: tandem vero, quum adsueverit, multo libentius per declivia, quam per acclivia curret. Si qui vero metuunt, ne, dum aguntur equi per declivia, scapulas & armos rumpant: bono esse animo poterunt, ubi cognoverint, Persas & Odrysas universos, per declivia cursu certantes, equos habere Græcorum equis non minus sanos.

7. Nec omittemus, quo pacto sessor ad hæc omnia se debeat accommodare. Nam ad impetum equi

ἵππου, προνεύειν· (ἧττον γὰρ ἂν καὶ ὑποδύοι ὁ ἵππος, καὶ ἀναβάλλοι τὸν ἀναβάτην) ἐν μικρῷ δὲ ἀναλαμβανομένου, ἀναπίπτειν. ἧσσον γὰρ ἂν αὐτὸς κόπτοιτο.

η'. Τάφρον δὲ διαλλομένου, καὶ πρὸς ὄρθιον ἱεμένου, καλὸν χαίτης ἐπιλαμβάνεσθαι, ὡς μὴ ὁ ἵππος τῷ τε χωρίῳ ἅμα καὶ τῷ χαλινῷ βαρύνηται. εἰς γε μὴν τὸ πρανὲς, καὶ ἑαυτὸν ὑπτιαστέον, καὶ τοῦ ἵππου ἀντιληπτέον τῷ χαλινῷ, ὡς μὴ προπετῶς εἰς τὸ κάταντες μήτε αὐτὸς μήτε ὁ ἵππος φέρηται.

θ'. Ορθῶς δ' ἔχει καὶ τὸ ἄλλοτε μὲν ἐν ἄλλοις τόποις, ἄλλοτε δὲ μακρὰς, ἄλλοτε δὲ βραχείας τὰς ἱππασίας ποιεῖσθαι. ἀμισέστερα γὰρ καὶ ταῦτα τῷ ἵππῳ τοῦ ἀεὶ ἐν τοῖς αὐτοῖς τόποις καὶ ὁμοίας τὰς ἱππασίας ποιεῖσθαι.

ι'. Επεὶ δὲ δεῖ ἐν παντοίοις τε χωρίοις τὸν ἵππον ἀνὰ κράτος ἐλαύνοντα ἔποχον τε εἶναι, καὶ ἀπὸ τοῦ ἵππου τοῖς ὅπλοις καλῶς δύνασθαι χρῆσθαι, ὅπου μὲν ἐστὶ χωρία ἐπιτήδεια καὶ θηρία, ἄμεμπτος ἡ ἐν θήραις μελέτη τῆς ἱππικῆς·

ὅπου

equi subitum, anterius ei propendendum, quod hoc modo minus deprimetur equus, & minus equitem sursum jactabit: paulloque post, dum inhibetur equus, se retrorsum erigat. Sic enim minus ipse succutietur.

8. Dum fossa transilitur, & in acclivia pergitur, non malum est jubam adprehendere; ne simul equus & difficultate loci, & fræno gravetur. In agitatione vero declivi seipsum resupinet, & equum fræno contineat: ne præceps tum ipse tum equus deorsum feratur.

9. Rectum est etiam, nonnunquam in aliis atque aliis locis, & interdum longas, interdum breves equitationes instituere. Nam & illa minus equo sunt odiosa, quam si semper in iisdem locis, & eodem modo agitetur.

10. Quia vero necessarium est, ut omnigenis in locis equum agens, eidem firmiter insideat, & armis ex equo recte uti possit; idcirco rei equestris exercitium in venationibus, ubi tum idonea loca, tum feræ sunt, reprehendi non solet:

let:

ὅπου δὲ ταῦτα μὴ ὑπάρχει, ἀγαθὴ ἄσκησις, καὶ ἣν δύο ἱππόται συνθέμενοι, ὁ μὲν φεύγῃ ἐπὶ τοῦ ἵππου παντοῖα χωρία, καὶ τὸ δόρυ εἰς τοὔπισθεν μεταβαλλόμενος ὑποχωρῇ· ὁ δὲ διώκῃ, ἐσφαιρωμένα τε ἔχων ἀκόντια, καὶ δόρυ ὡσαύτως πεπραγματευμένον. καὶ ὅπου μὲν ἂν εἰς ἀκόντιον ἀφικνῆται, ἀκοντίζῃ τὸν φεύγοντα τοῖς σφαιρωτοῖς· ὅπου δ' ἂν εἰς δόρατος πληγὴν, παίῃ τὸν ἁλισκόμενον.

ια'. Ἀγαθὸν δὲ, κἂν ποτε συμπέσωσιν, ἑλκύσαντα ἐφ' ἑαυτὸν τὸν πολέμιον, ἐξαίφνης ἀπῶσαι. τοῦτο γὰρ καταβλητικόν. ὀρθῶς δὲ ἔχει καὶ τῷ ἑλκομένῳ *ἐπελαύνειν τὸν ἵππον. τοῦτο γὰρ ποιῶν ὁ ἑλκόμενος καταβάλοι ἂν μᾶλλον τὸν ἕλκοντα ἢ καταπέσοι.

ιβ'. Ἢν δέ ποτε καὶ στρατοπέδου ἀντικαθημένου ἀνθιππεύωσιν ἀλλήλοις, καὶ διώκωσι μὲν μέχρι τῆς πολεμίας φάλαγγος τοὺς ἐναντίους, φεύγωσι δὲ μέχρι τῆς φιλίας, ἀγαθὸν καὶ ἐνταῦθα ἐπίστασθαι, ὅτι ἕως μὲν ἂν παρὰ τοὺς φίλους

let: ubi vero nulla eſt horum copia, fuerit hæc quoque non inutilis exercitatio, ſi duo equites ſic inter ſe rem componant, ut alter in equo per omnigena loca fugiat, & haſtam ſubinde retro transferens abſcedat; alter inſequatur cum jaculis in cuſpidem pilarem deſinentibus, & cum ejuſdem formæ haſta. Quum intra jactum teli pervenerit, illa jacula cuſpidis pilaris in fugientem conjiciat; quum ad intervallum, quo haſta ferire licet, capiendum feriat.

11. Bonum hoc quoque, ut his inter ſe congreſſis, alter hoſtem ad ſe tractum ſubito protrudat. Hæc enim eſt hoſtis dejiciendi ratio. Viciſſim is qui trahitur, recte faciet ſi equum abigere nitatur. Quippe ſi hoc faciat is qui trahitur; citius trahentem dejecerit quam ipſe ceciderit.

12. Jam ſi aliquando, dum caſtra caſtris opponuntur, equites contra ſe provehantur, & ad hoſtilem uſque phalangem adverſarios inſequantur, ad ſuam vero viciſſim refugiant: heic etiam ſcire bonum eſt, quamdiu non procul aliquis

φίλοις τις * ᾖ, καλὸν καὶ ἀσφαλὲς τὸ ἐν πρώτοις ἐπιστρέψαντα ἀνακράτος ἐπικεῖσθαι· ὅταν δ' ἐγγὺς τῶν ἐναντίων γίγνηται, ὑποχείριον τὸν ἵππον ἔχειν. οὕτω γὰρ ἄν, ὡς τὸ εἰκός, μάλιστα δύναιτο βλάπτων τοὺς ἐναντίους μὴ βλάπτεσθαι ὑπ' αὐτῶν.

ιγ'. Ἀνθρώποις μὲν οὖν ἄνθρωπον θεοὶ ἔδοσαν λόγῳ διδάσκειν, ἃ δεῖ ποιεῖν. ἵππον δὲ δηλονότι λόγῳ μὲν οὐδὲν ἂν διδάξαις· ἢν δὲ ὅταν μὲν ποιήσῃ ὡς ἂν βούλῃ, ἀντιχαρίσῃ αὐτῷ, ὅταν δὲ ἀπειθῇ, κολάζῃς, οὕτω μάλιστα μάθοι τὸ δέον ὑπηρετεῖν.

ιδ'. Καὶ ἔστι μὲν τοῦτο ἐν βραχεῖ εἰπεῖν, δι' ὅλης δὲ τῆς ἱππικῆς παρακολουθεῖ. καὶ γὰρ χαλινὸν μᾶλλον ἂν λαμβάνοι, εἰ, ὁπότε δέξοιτο, ἀγαθόν τι αὐτῷ ἀποβαίνῃ· καὶ διαπηδῴη δ' ἄν, καὶ ἐξάλλοιτο, καὶ τἆλλα πάντα ὑπηρετοίη ἄν, εἰ προσδοκοίη, ὁπότε τὰ σημαινόμενα πράξει, ῥᾳστώνην τινά.

ΚΕΦ.

aliquis à suis abest, recte tutoque facturum, si equo in hostes adacto, totis viribus inter primos urgeat: ubi vero propior hostibus fuerit, equum in potestate retineat. Non enim abs re sic maxime damnum hostibus inferens, ipse nullum ab eis acceperit.

13. Cæterum mortalibus hoc datum divinitus, ut alios oratione docere possit homo, quæ facienda sint. Equum vero ut nihil oratione profecto docueris, ita si pro voluntate tua quiddam agenti vicissim gratum aliquid feceris, & contumacem castigaveris; hoc inprimis modo didicerit, ubicunque debet, obsequi.

14. Paucis hoc quidem dicitur, sed in equestri re tota locum habet ubique. Nam & frænum facilius admittet, si quidem eo admisso boni aliquid ei contingat: itidemque tum transiliet, tum exsiliet, ac in aliis omnibus obsequetur, si postquam imperata fecerit, aliquam requietem exspectet.

ΚΕΦ. θ'.

ΚΑΙ τὰ μὲν δὴ εἰρημένα ταῦτά ἐστιν, ὡς ἂν ἥκιστα μὲν ἐξαπατῷτο καὶ πῶλον καὶ ἵππον ὠνούμενος, ἥκιστα δ᾽ ἂν διαφθείραι χρώμενος, μάλιστα δ᾽ ἂν ἵππον εἰ ἀποδεικνύειν δέοι ἔχοντα ὧν ἱππεὺς δεῖται εἰς πόλεμον. καιρὸς δ᾽ ἴσως γράψαι καὶ, εἴποτε συμβαίνοι θυμοειδεστέρῳ ἵππῳ τοῦ καιροῦ χρῆσθαι, ἢ βλακωδεστέρῳ, ὡς ἂν ὀρθότατα ἑκατέρῳ χρῷτο.

β'. Πρῶτον τοίνυν χρὴ τοῦτο γνῶναι, ὅτι ἐστὶ θυμὸς ἵππῳ, ὅπερ ὀργὴ ἀνθρώπῳ. ὥσπερ οὖν καὶ ἄνθρωπον ἥκιστ᾽ ἂν ὀργίζοι τις ὁ μήτε λέγων χαλεπὸν μηδὲν μήτε ποιῶν, οὕτω καὶ ἵππον θυμοειδῆ ὁ μὴ ἀνιῶν ἥκιστ᾽ ἐξοργίζοιτο.

γ'. Εὐθὺς μὲν οὖν χρὴ ἐν τῇ ἀναβάσει ἐπιμελεῖσθαι, ὡς ἂν ἥκιστ᾽ ἀναβαίνων λυποῖ. ἐπειδὰν δὲ

ἀνα-

CAP. IX.

ET hactenus quidem hæc exposita sunt, quomodo quamminime circumveniatur is, qui pullum & equum emit; quomodo quamminime comparatum usu corrumpat, præsertim si equus cum ostentatione sit exhibendus, qui habeat ea quibus equiti ad bellum sit opus. Tempus autem fortasse fuerit, ut etiam scribamus, si quando contingat, ut vel animosiore quis equo, vel ignaviore, quam par sit, utatur; quonam modo rectissime utroque possit uti.

2. Primum igitur hoc sciendum, in equo id animum esse, quod in homine sit iracundia. Itaque sicut hominem minime quis ad iram provocet, qui molestum ei quidquam neque dicit, neque facit: ita nec animosiorem equum ad iram aliquis commoveat, qui re nulla eum offendit.

3. Statim igitur in adscensu adhibenda diligentia, ne quidquam molestum equo fiat, dum conscen-

ditur.

ἀναβῇ, ἠρεμίσαντα πλείω χρόνον, ἢ τὸν ἐπιτυχόντα, οὕτω προκινεῖν αὐτὸν ὡς πρᾳοτάτοις σημείοις. ἔπειτα δὲ ἐκ τοῦ βραχυτάτου ἀρχόμενον οὕτως ἂν εἰς τὸ θᾶττον προάγειν, ὡς ἂν μάλιστα λανθάνοι αὐτὸν ὁ ἵππος εἰς τὸ ταχὺ ἀφικνούμενος.

δ'. Ὅ, τι δ' ἂν ἐξαίφνης σημήνῃ, θυμοειδῆ ἵππον ὥσπερ ἄνθρωπον ταράττει τὰ ἐξαπίναια καὶ ὁράματα, καὶ ἀκούσματα, καὶ παθήματα· εἰδέναι δὲ χρὴ, ὅτι ἐν ἵππῳ τὰ ἐξαπίναια τάραχον ἐξεργάζεται.

ε'. Ἢν δὲ καὶ εἰς τὸ θᾶττον ὁρμώμενον τοῦ καιροῦ ὑπολαμβάνειν βούλῃ τὸν θυμοειδῆ, οὐ δεῖ ἐξαπιναίως σπᾶν, ἀλλ' ἠρεμαίως προσάγεσθαι τῷ χαλινῷ, πραΰνοντα, οὐ βιαζόμενον ἠρεμεῖν.

ϛ'. Καὶ αἵ τε μακραὶ ἐλάσεις μᾶλλον, ἢ αἱ πυκναὶ ἀποστροφαὶ πραΰνουσι τοὺς ἵππους, καὶ αἱ ἡσυχαῖαι μὲν πολὺν χρόνον * καθεψοῦσι, καὶ πραΰνουσι, καὶ οὐκ ἀνεγείρουσι τὸν θυμοειδῆ.

ζ'. Εἰ

ditur. Ubi conſcenderit eques, & diutius quieverit, quam alioqui forte feciſſet: ita deinde ſignis eum placidiſſimis loco moveat. Hinc à tardiſſimo incipiens, ſic eum ad velociorem motum deducat; ut ipſemet equus ſe minime ſentiat ad progreſſum celeriorem acceſſiſſe.

4. Quidquid autem repente juſſerit eques, id equum animoſum, non aliter atque hominem ipſum, perturbat: ſive ſubito conſpiciat aliquid, ſeu audiat, ſeu patiatur. Sciendum ergo, repentina perturbationis cauſſam equo præbere.

5. Quod ſi etiam equum animoſum concitatius proruentem, quam par ſit, inhibere velis: non eum convellere ſubito debes, ſed placide fræno adtrahere; ut eum mitigando, non vi cogendo, ad quieſcendum permoveas.

6. Agitationes quoque prolixiores magis mitigant equos, quam crebræ inflexiones: itemque remiſſiores diu demulcent, & placant, & minime concitant equum animoſiorem.

7. Si

ζ'. Εἰ δέ τις οἴεται, ἢν ταχὺ καὶ πολλὰ ἐλαύνηται, ἀπειπεῖν ποιήσας τὸν ἵππον πραΰνειν, τἀναντία γιγνώσκει τοῦ γιγνομένου. ἐν γὰρ τοῖς τοιούτοις ὁ θυμοειδὴς καὶ ἄγειν βίᾳ μάλιστα ἐπιχειρεῖ, καὶ σὺν τῇ ὀργῇ, ὥσπερ ἄνθρωπος ὀργίλος, πολλάκις καὶ ἑαυτὸν καὶ τὸν ἀναβάτην πολλὰ ἀνήκεστα ἐποίησεν.

η'. Ἐπιλαμβάνειν δὲ χρὴ ἵππον θυμοειδῆ καὶ τοῦ εἰς τὸ τάχιστα ὁρμᾶν, τοῦ δὲ δὴ παραβάλλειν ἵππῳ καὶ παντάπασιν ἀπέχεσθαι. σχεδὸν γὰρ αἱ φιλονεικόταται καὶ θυμοειδέσταται τῶν ἵππων γίγνονται.

θ'. Καὶ χαλινοὶ δὲ οἱ λεῖοι ἐπιτηδειότεροι τῶν τραχέων. ἐὰν δὲ καὶ τραχὺς ἐμβληθῇ, τῇ χαλαρότητι τῷ λείῳ δεῖ αὐτὸν ἀφομοιοῦν. ἀγαθὸν δὲ ἐθίζειν αὐτὸν καὶ τῷ ἠρεμεῖν μάλιστα ἐπὶ θυμοειδοῦς ἵππου, καὶ τῷ ὡς ἥκιστα ἄλλῳ τινὶ ἅπτεσθαι, ἢ οἷς τοῦ καθῆσθαι ἀσφαλῶς ἕνεκα ἁπτόμεθα.

ι'. Εἰδέναι δὲ χρὴ, ὅτι δίδαγμά ἐστι καὶ τῷ ποππυσμῷ

ποππυσμῷ

7. Si quis autem existimat, equum se agitatione celeri & diuturna fatigatum mansuetiorem effecturum: is contra statuit, quam fieri solet. Nam equus animosus in hujusmodi agitationibus inprimis vi nititur uti, & in ira perinde atque homo iracundus, sæpenumero tam seipsum quam sessorem, multis adficere malis gravissimis consuevit.

8. Etiam continendus est equus animosus, quominus celerrime proruat; & ab eo prorsus abstinendum, ne cum alio quovis equo certaminis caussa committatur. Nam equi plerumque contentiosissimi etiam existere solent animosissimi.

9. Fræna quoque his aptiora lævia, quam aspera. Si tamen & asperum injectum fuerit, laxitate id efficiendum, ut lævi simile sit. Bonum vero est, ut eques se consuefaciat ad sessionem quietam in equo animoso, & ut eum alia sui parte non tangat, quam quibus partibus equum sessionis tutioris caussa tangimus.

10. Sciendum autem, solere præcipi,

πυσμῷ μὲν πραΰνεσθαι, *κλωσμῷ δὲ ἐγείρεσθαι. καὶ εἴ τις ἐξ ἀρχῆς ἐπὶ μὲν κλωσμῷ τὰ πρᾳέα, ἐπὶ δὲ ποππυσμῷ τὰ χαλεπὰ προσφέροι, μάθοι ἂν ὁ ἵππος ποππυσμῷ μὲν ἐγείρεσθαι, κλωσμῷ δὲ πραΰνεσθαι.

ια΄. Οὕτως οὖν δεῖ καὶ παρὰ κραυγὴν καὶ παρὰ σάλπιγγα μήτ᾽ αὐτὸν φαίνεσθαι προσιέναι τεθορυβημένον τῷ ἵππῳ, μήτε μὴν ἐκείνῳ θορυβῶδες μηδὲν προσφέρειν, ἀλλ᾽ εἰς τὸ δυνατὸν καὶ ἀναπαύειν ἐν τῷ τοιούτῳ, καὶ ἄριστα καὶ δεῖπνα, εἰ συγχωροίη, προσφέρειν.

ιβ΄. Κάλλιστον δὲ συμβούλευμα, τὸ ἄγαν θυμοειδῆ ἵππον μὴ κτᾶσθαι εἰς πόλεμους. βλακὶ γε μὴν ἵππῳ ἀρκεῖν μοι δοκεῖ γράψαι πάντα τἀναντία ποιεῖν, ὅσα τῷ θυμοειδεῖ χρῆσθαι συμβουλεύομεν.

ΚΕΦ. ι΄.

ΗΝ δέ τις ποτε βουληθῇ χρῆσθαι τῷ χρησίμῳ εἰς πόλεμον ἵππῳ μεγαλοπρεπεστέρῳ τε καὶ περιβλεπτοτέρῳ

cipi, ut equi poppyſmi ſibilo mitigentur, clogmo excitentur. Quod ſi quis initio lenius equum tractet cum clogmo, durius cum poppyſmo: nimirum ad poppyſmum incitari adſueverit, ad clogmum mitigari.

11. Eodem modo nec ad clamorem, nec ad tubam, vel ipſe videri debet ad equum accedere perturbatus, vel ei turbulentam aliquam ſpeciem exhibere: ſed in hujuſmodi caſu equum ſedare, quantum ejus fieri poteſt, & eidem tum prandii, tum cœnæ pabula, ſi quidem id fieri liceat, offerre.

12. Rectiſſimum vero conſilium hoc fuerit, ut equus admodum ferox ad uſum belli non ematur. De inerti equo ſufficere mihi videtur id ſcripſiſſe, omnia huic faciunda iis contraria, quibus utendum in animoſo conſulimus.

CAP. X.

SI quis autem equo ad bellum idoneo ſic uti voluerit, ut etiam inter equitandum magnificentior

&

βλεπτοτέρῳ ἱππάζεσθαι, τοῦ μὲν ἕλκειν τε τὸ στόμα τῷ χαλινῷ, καὶ μυωπίζειν τε, καὶ μαστιγοῦν τὸν ἵππον, ἃ οἱ πολλοὶ ποιοῦντες λαμπρύνειν οἴονται, ἀπέχεσθαι δεῖ. πάντα γὰρ τἀναντία οὗτοί γε ποιοῦσιν ὧν βούλονται.

β'. Τά, τε γὰρ στόματα ἕλκοντες ἄνω, ἀντὶ τοῦ προορᾷν, ἐκτυφλοῦσι τοὺς ἵππους, καὶ μυωπίζοντες καὶ παίοντες ἐκπλήττουσιν, ὥστε τεταράχθαι καὶ κινδυνεύειν. ταῦτα δ' ἐστὶν ἵππων ἔργα τῶν μάλιστα ἀχθομένων ἱππασίᾳ, καὶ αἰσχρὰ καὶ οὐ καλὰ ποιούντων.

γ'. Εαν δέ τις διδάξῃ τὸν ἵππον ἐν χαλαρῷ μὲν τῷ χαλινῷ ἱππεύειν, ἄνω δὲ τὸν αὐχένα διαίρειν, ἀπὸ δὲ τῆς κεφαλῆς κυρτοῦσθαι, οὕτως ἂν ἀπεργάζοιτο ποιεῖν τὸν ἵππον οἵοις περ καὶ αὐτὸς ἥδεταί τε καὶ ἀγάλλεται.

δ'. Τεκμήριον δέ, ὅτι τούτοις ἥδεται. ὅταν γὰρ * αὖθις ἔλθῃ παρ' ἵππους, μάλιστα δὲ ὅταν πρὸς θηλείας, τότε αἴρει τὸν αὐχένα ἀνωτάτω, καὶ κυρτοῖ μάλιστα τὴν κεφαλὴν γοργούμενος.

& ſpectabilior ſit: is uti nec os equi fræno torqueat, nec eum calcaribus & flagris urgeat, abſtinere ſe debet: quæ plerique dum faciunt, ſplendorem quendam præ ſe ferunt. Contraria nempe iis agunt omnia, quæ cupiunt.

2. Etenim dum equorum ora ſurſum trahendo torquent; cæcos reddunt eos, qui ante ſpectare debebant: dum calcaribus urgent, & flagris cædunt, ita territos obſtupefaciunt; ut perturbati, ſe periculis exponant. Ea vero fieri ab equis ſolent, qui motum equitationis moleſtiſſime ferunt; ac fœde, non egregie ſe gerunt.

3. Si quis autem ſic equum inſtituat, ut motus equeſtres fræno laxiore peragat, & cervicem ſurſum adtollat, & à capite gibberis inſtar incurvet: ita ſcilicet illum impellat ad præſtandum ea, quibus equus ipſe gaudet ac exultat.

4. His eum gaudere, vel hoc argumento conſtat. Nam quoties ipſe ad alios accedit equos, fœminei præſertim ſexus; tunc & cervicem ad ſummum adtollit, & caput agili maxime motu recurvat;

γενόμενος. καὶ τὰ μὲν σκέλη ὑγρὰ μετεωρίζει, τὴν δὲ οὐρὰν ἄνω ἀνατείνει.

ε'. Ὅταν οὖν τις αὐτὸν εἰς ταῦτα προσάγῃ, ἅπερ αὐτὸς σχηματοποιεῖται, ὅταν μάλιστα καλλωπίζηται, οὕτως ἡδόμενόν τε τῇ ἱππασίᾳ, καὶ μεγαλοπρεπῆ, καὶ γοργόν, καὶ περίβλεπτον ἀποφαίνει τὸν ἵππον. ὡς οὖν ἡγούμεθα ταῦτ' ἂν ἀπεργασθῆναι, νῦν αὖ πειρασόμεθα διηγεῖσθαι.

ϛ'. Πρῶτον μὲν τοίνυν χρὴ οὐ μεῖον δυοῖν χαλινοῖν κεκτῆσθαι. τούτων δὲ ἔστω ὁ μὲν λεῖος, τοὺς τροχοὺς εὐμεγέθεις ἔχων, ὁ δὲ ἕτερος τοὺς μὲν τροχοὺς καὶ βαρεῖς καὶ ταπεινούς, τοὺς δ' ἐχίνους ὀξεῖς· ἵνα ὁπόταν μὲν τοῦτον λάβῃ, ἀσχάλλων τῇ τραχύτητι, διὰ τοῦτο ἀφίῃ, ὅταν δὲ τὸν ἄλλον μεταλάβῃ, τῇ μὲν λειότητι αὐτοῦ ἥδηται· ἃ δὲ ὑπὸ τοῦ τραχέος παιδευθῇ, ταῦτα καὶ ἐν τῷ λείῳ ποιῇ.

ζ'. Ἢν δ' αὖ καταφρονήσας τῆς λειότητος θαμινὰ ἐπερείδηται ἐν αὐτῷ, τούτου ἕνεκα τοὺς τροχοὺς μεγάλους

τῷ

vat; ac alte quidem mollia crura tollit, caudam vero sursum tendit.

5. Itaque si quis eum ad ista deducat, quæ ipsemet effingit, quum pulchritudinem suam in primis ostentat; tum vero talem exhibebit equum, qui & voluptatem ex agitatione capiat, & magnificus sit, & pernix, & spectabilis. Quo autem modo putemus hæc posse perfici, nunc enarrare conabimur.

6. Primum igitur habere fræna non pauciora duobus oportet. Horum læve sit unum, & orbes habeat majusculos; alterum graves ac depressos orbes, & echinos acutos: ut ubi frænum hujusmodi prehenderit, ob asperitatem ægre ferens, dimittat; ubi læve cum isto commutaverit, ejus lævitate delectatus, quæ facere per illud asperum edoctus fuerat, etiam lævi utens efficiat.

7. Sin ista lævitate contempta, frequenter huic incumbere velit: hanc ipsam ob caussam lævi majores orbes addimus, ut os pan-

dere

τῷ λείῳ περιτίθεμεν, ἵνα χάσκειν ἀναγκαζόμενος ὑπ' αὐτῶν ἐφείη τὸ στόμιον.

η'. Οἷόν τε δὲ καὶ τὸν τραχὺν παντοδαπὸν ποιεῖν, καὶ καθειλοῦντα, καὶ κατατείνοντα· ὁπόσοι δ' ἂν ὦσι χαλινοί, πάντες ὑγροὶ ἔστωσαν. τὸν μὲν γὰρ σκληρὸν ὅπῃ ἂν ὁ ἵππος λάβῃ, ὅλον ἔχει πρὸς ταῖς γνάθοις· ὥσπερ καὶ ὀβελίσκον ὁπόθεν ἄν τις λάβῃ, ὅλον αἴρει.

θ'. Ὁ δὲ ἕτερος ὥσπερ ἡ ἅλυσις ποιεῖ. ὃ γὰρ ἂν ἔχῃ τις αὐτοῦ, τοῦτο μόνον ἄκαμπτον μένει, τὸ δὲ ἄλλο ἀπήρτηται. ὃ δὲ φεῦγον ἐν τῷ στόματι ἀεὶ θηρεύων, ἀφίησιν ἀπὸ τῶν γνάθων τὸ στόμιον. τούτου ἕνεκα καὶ οἱ κατὰ μέσον ἐκ τῶν ἀξόνων δακτύλιοι κρεμάννυνται, ὅπως τούτους διώκων τῇ τε γλώττῃ καὶ τοῖς ὀδοῦσιν, ἀμελῇ τοῦ ἀναλαμβάνειν πρὸς τὰς γνάθους τὸν χαλινόν.

ι'. Εἰ δέ τις ἀγνοεῖ, τί τὸ ὑγρὸν τοῦ χαλινοῦ, καὶ τί τὸ σκληρόν, γράψομεν καὶ τοῦτο. ὑγρὸν μὲν γάρ ἐστιν, ὅταν οἱ ἄξονες εὐρείας καὶ λείας ἔχωσι τὰς συμβολάς, ὥστε ῥᾳδίως

dere per eos cogatur, atque ita lupos admittat.

8. Licebit & asperius frænum variare tum implicando tum extendendo. Quotcumque vero fræna fuerint, mollia sint omnia. Nam durum quacumque parte prehenderit equus, totum ad maxillas tenet; sicut & veru quacumque parte quispiam prehenderit, totum sustollit.

9. Alterum vero sic comparatum est, ut catena. Quam enim partem ejus aliquis tenet, ea sola non flexa manet; reliquis pendulis. Has dum fugientes in ore semper venando captat equus, lupos à maxillis dimittit. Eam ob caussam pendent & anuli de axibus in medio, ut hos tam lingua quam dentibus insequendo prensans, frænum ad maxillas corripere negligat.

10. Si quis autem ignorat, quod frænum molle, quod durum sit; hoc quoque litteris complectemur. Est enim molle, quum axes ita & latas & læves commissuras habent, ut facile

δίως κάμπτεσθαι. καὶ πάντα δέ, ὁπόσα περιτίθεται περὶ τοὺς ἄξονας, ἢν εὐρύστομα ᾖ, καὶ μὴ σύμπυκνα, ὑγρότερά ἐστι.

ια΄. Ἢν δὲ χαλεπῶς ἕκαστα τοῦ χαλινοῦ διατρέχῃ καὶ συνθῇ, τοῦτ' ἐστὶ σκληρὸν εἶναι. ὁποῖος δ' ἄν τις ᾖ τούτῳ, τάδε γε πάντα ★ ταῦτα ποιητέον, ἤνπερ γε βούληται ἀποδείξασθαι τὸν ἵππον, οἷον προείρηται.

ιβ΄. Ἀνακρουστέον μὲν τὸ στόμα τοῦ ἵππου οὔτε ἄγαν χαλεπῶς, ὥστε ἐκνεύειν, οὔτε ἄγαν ἡσύχως, ὡς μὴ αἰσθάνεσθαι. ἐπειδὰν δὲ ἀνακρουόμενος αἴρῃ τὸν αὐχένα, δοτέον εὐθὺς τὸν χαλινόν. καὶ τἆλλα δὲ δεῖ, ὥσπερ οὐ παυόμεθα λέγοντες, ἐν ᾧ ἂν καλῶς ὑπηρετῇ, χαρίζεσθαι τῷ ἵππῳ.

ιγ΄. Καὶ ὅταν δ' αἴσθηται ἡδόμενον τὸν ἵππον τῇ τε ὑψηλαυχενίᾳ καὶ τῇ χαλαρότητι, ἐν τούτῳ οὐδὲν δεῖ χαλεπὸν προσφέρειν, ὡς πονεῖν ἀναγκάζοντα, ἀλλὰ θωπεύειν ὡς παύσασθαι βουλόμενον. οὕτω γὰρ μάλιστα θαρρῶν προσεισιν εἰς τὴν ταχεῖαν ἱππασίαν.

ιδ΄. Ὡς

cile flectantur. Itidem omnia, quæ circum axes adhibentur, si larga sint, ac minus densa, magis etiam sunt mollia.

11. Si vero fræni partes omnes difficulter discurrant & cohæreant; hoc scilicet est, durum esse ac rigidum. Qualecumque vero frænum equus habeat, eo perager hæc omnia; modo eques talem illum efficere voluerit, qualem descripsimus.

12. Os quidem equi sursum impellendum non adeo graviter, ut effugere divertendo velit; nec adeo placide, ut non sentiat. Ubi sursum caput impellendo cervicem adtollit, mox ei frænum concedendum erit. Quinetiam in aliis equo, sicuti monere non desinimus, officium recte facienti vicissim indulgendum.

13. Quumque senserit eques, & elatione cervicis equum, & habenarum laxitate delectari: tum vero nihil ei molestum adferre debet; quasi ad laborem cogere; sed blandiri, quasi potius eum quiescere velit. Sic enim animo maxime promto ad agitationē celeriorē procedet.

ιδ΄. Ὡς δὲ καὶ τῷ ταχὺ θεῖν ἵππος ἥδεται, τεκμήριον. ἐκφυγὼν γὰρ οὐδεὶς βάδην πορεύεται, ἀλλὰ θεῖ. τούτῳ γὰρ πέφυκεν ἥδεσθαι, ἢν μή τις πλείω τοῦ καιροῦ θεῖν ἀναγκάζῃ. ὑπερβάλλον δὲ τὸν καιρὸν οὐδὲν τῶν πάντων ἡδὺ οὔτε ἵππῳ οὔτε ἀνθρώπῳ.

ιε΄. Ὅταν γε μὴν εἰς τὸ ἱππάζεσθαι μετὰ τοῦ κύδρου ἀφιγμένος ᾖ, εἰθισμένος μὲν δήπου ἡμῖν εἴη ἐν τῇ πρώτῃ ἱππασίᾳ ἐκ τῶν στροφῶν εἰς τὸ θᾶττον ὁρμᾶσθαι. ἢν δέ τις τοῦτο μὲν μεμαθηκότος αὐτοῦ ἅμα ἀντιλαμβάνηταί τε τοῦ χαλινοῦ, καὶ σημαίνῃ τῶν ὁρμητηρίων τι τούτῳ, ὑπὸ μὲν τοῦ χαλινοῦ * πιεσθεὶς ..... ὑπὸ δὲ τοῦ ὁρμᾶν σημανθῆναι ἐγείρηται· καὶ προβάλλεται μὲν τὰ στέρνα, αἴρει δὲ ἀνωτέρω τὰ σκέλη ὀργιζόμενος, οὐ μέντοι ὑγρά γε. οὐ γὰρ μᾶλλον, ὅταν λυπῶνται, ὑγρῶς τοῖς σκέλεσιν ἵπποι χρῶνται.

ιϛ΄. Ἢν δέ τις οὕτως ἀνεζωπυρημένῳ αὐτῷ διδῷ τὸν χαλινόν, ἐνταῦθα ὑφ᾿ ἡδονῆς τοῦ διὰ τὴν χαλαρότητα τοῦ στο-

μίου

14. Nec argumentum nobis deeſt, quo conſtet, equum curſu velociore delectari. Quippe nullus omnino equus, ubi effugerit, gradatim incedit, ſed curſu fertur. Hoc enim à natura delectari ſolet, niſi quis eum ulterius quam tempeſtivum ſit, ad curſum cogat. Quidquid vero tempeſtivi uſus modum ſuperat, id omnibus in rebus nec equo nec homini gratum eſt.

15. Ubi jam ad agitationem quandam glorioſam pervenerit, adſuefactus ſcilicet à nobis erit in agitatione priori, ut poſt inflexiones ad motum celeriorem tendat. Si quis autem equum jam ſic inſtitutum ſimul & fræno retineat, & ſigno dato ad impetum excitet: tum vero preſſus ille quidem à fræno excandeſcit, ſed concitationis ſigno accenditur, ac pectus protendit, & iraſcens altius crura tollit, non mollia tamen. Quippe quum offenduntur equi, non ideo cruribus uti mollioribus ſolent.

16. At ſi quis equo ſic excitato frænum conceſſerit, ibi præ gaudio, quod ob laxitatem ſe lupis

libera-

μίου λελύσθαι νομίζειν, κυδρῷ μὲν τῷ σχήματι, ὑγροῖν δὲ τοῖν σκελοῖν γαυριώμενος φέρεται, παντάπασιν ἐκμιμούμενος τὸν πρὸς ἵππους καλλωπισμόν.

ιζ'. Καὶ οἱ θεώμενοι τὸν ἵππον τοιοῦτον, ἀποκαλοῦσιν ἐλευθέριόν τε, καὶ ἐθελουργόν, καὶ ἱππαστήν, καὶ θυμοειδῆ, καὶ σοβαρόν, καὶ ἅμα ἡδύν τε, καὶ ἅμα γοργὸν ἰδεῖν. καὶ ταῦτα μὲν δή, ἤν τούτων τις ἐπιθυμήσῃ, μέχρι τούτων ἡμῖν γεγράφθω.

ΚΕΦ. ια'.

ΗΝ δέ τις ἄρα βουληθῇ, καὶ πομπικῷ, καὶ μετεώρῳ, καὶ λαμπρῷ ἵππῳ χρήσασθαι, οὐ μάλα μὲν τὰ τοιαῦτα ἐκ παντὸς ἵππου γίγνεται, ἀλλὰ δεῖ ὑπάρξαι αὐτῷ καὶ τὴν ψυχὴν μεγαλόφρονα, καὶ τὸ σῶμα εὔρωστον.

β'. Οὐ μέντοι, ὅγε οἴονταί τινες, τὸν τὰ σκέλη ὑγρὰ ἔχοντα καὶ τὸ σῶμα αἴρειν δυνήσεσθαι, οὐχ οὕτως ἔχει· ἀλλὰ μᾶλλον

liberatum existimet, glorioso quodam gestu, cruribusque mollibus exsultabundus fertur, & in omnibus exprimit elegantiam illam, cum qua solet equos alios adire.

17. Ac talem qui spectant equum, & liberalem adpellant, & spontaneum, & equestrem, & animosum, & fastuosum, simulque jucundum & terribilem adspectu. Quæ quidem si quis est, qui adfectat, hactenus exposita norit.

CAP. XI.

AT si quis equo ad pompas idoneo, & erigente se, & splendido uti voluerit: sane non quovis ab equo hæc exspectet, sed existere prius animum in eo magnum, & robustum corpus, oportet.

2. Quod autem plerique existimant, equum, cui crura mollia sint, etiam corporis adtollendi facultatem habiturum, non ita comparatum est: sed potius hoc

μᾶλλον ὃς ἂν τὴν ὀσφὺν ὑγρὰν τε, καὶ βραχεῖαν, καὶ ἰσχυρὰν ἔχῃ, (καὶ οὐ τὴν κατ' οὐρὰν λέγομεν, ἀλλ' ἣ πέφυκε μεταξὺ τῶν τε πλευρῶν καὶ τῶν ἰσχίων κατὰ τὴν κενεῶνα·) οὗτος δυνήσεται πόῤῥω ὑποτιθέναι τὰ ὀπίσθια σκέλη ὑπὸ τὰ ἐμπρόσθια.

γʹ. Ἢν οὖν τις ὑποτιθέντα αὐτὸν ἀνακρούῃ τῷ χαλινῷ, ὀκλάζει μὲν τὰ ὀπίσθια ἐν τοῖς ἀστραγάλοις, αἴρει δὲ τὸ πρόσθεν σῶμα, ὥστε τοῖς ἐξεναντίας φαίνεσθαι τὴν γαστέρα καὶ τὰ αἰδοῖα. δεῖ δὲ καὶ ὅταν ταῦτα ποιῇ, διδόναι αὐτῷ τὸν χαλινὸν, ὅπως τὰ κάλλιστα ἵππου ἑκών τε ποιῇ, καὶ δοκῇ τοῖς ὁρῶσιν.

δʹ. Εἰσὶ μέντοι οἳ καὶ ταῦτα διδάσκουσιν, οἱ μὲν ῥάβδῳ ὑπὸ τοὺς ἀστραγάλους κρούοντες, οἱ δὲ καὶ βακτηρίᾳ παρατρέχοντά τινα κελεύοντες ὑπὸ τὰς μηριαίας παίειν.

εʹ. Ἡμεῖς γε μέντοι τὸ κράτιστον τῶν διδασκαλίων νομίζομεν, ὥσπερ ἀεὶ λέγομεν, ἢν ἐν παντὶ παρέπηται τὸ, ἐν ᾧ ἂν ποιήσῃ τῷ ἀναβάτῃ κατὰ γνώμην, τυγχάνειν ῥᾳστώνης παρ' αὐτοῦ.

ϛʹ. Α

hoc illius erit, cui lumbi molles ſunt, & breves, & robuſti. Nec jam de lumbis ad caudam loquimur, ſed de iis qui ad alvum, inter latera & coxas exiſtunt. Talis equus ſubjicere crura poſteriora prioribus haud exiguum ad ſpatium poterit.

3. Itaque ſi quis eo ſic ſubjiciente, frænum ſurſum adducat; poſterioribus quidem partibus in talos recumbit, anterius vero corpus ſic adtollit, ut ab adverſis & venter & verenda conſpiciantur. Hæc vero quum facit, frænum ei remittendum eſt; ut quæ pulcherrima præſtantur ab equo, & faciat lubens, & ita facere judicio ſpectatorum exiſtimetur.

4. Et hæc quidem ſunt qui docent equos, dum eos alii virga ſubter talos pulſant, alii quendam propter equum currentē baculo cædere ſubjectas femoribus partes jubēt.

5. Nobis ea docendi ratio judicatur optima, quemadmodum ſemper dicimus, ſi comitetur hoc in omnibus, ut equus voluntati agitatoris obſequens, viciſſim ab eo quietem impetret.

6. Nam

ϛʹ. Ἃ μὲν γὰρ ὁ ἵππος ἀναγκαζόμενος ποιεῖ, ὥσπερ καὶ Σίμων λέγει, οὔτ᾽ ἐπίσταται, οὔτε καλά ἐστιν, οὐδὲν μᾶλλον, ἢ εἴ τις ὀρχηστὴν μαστιγῴη καὶ κεντρίζοι. πολὺ γὰρ ἂν πλείω ἀσχημονοίη ἢ καλὰ ποιοίη ὁ τοιαῦτα πάσχων καὶ ἵππος καὶ ἄνθρωπος. ἀλλὰ δεῖ ἀπὸ σημείων ἔχοντα πάντα τὰ κάλλιστα καὶ λαμπρότατα ἐπιδείκνυσθαι.

ζʹ. Ην δὲ καὶ ὅταν μὲν ἱππάζηται, μέχει πολλοῦ ἱδρῶτος ἐλαύνηται, ὅταν δὲ καλῶς μετεωρίζῃ ἑαυτὸν, ταχύ τε καταβαίνηται καὶ ἀποχαλινῶται, εὖ χρὴ εἰδέναι, ὅτι ἑκὼν εἶσιν εἰς τὸ μετεωρίζειν ἑαυτόν.

ηʹ. Επὶ τῶν τοιούτων ἤδη δὲ ἱππαζομένων ἵππων καὶ θεοὶ καὶ ἥρωες γράφονται· καὶ ἄνδρες, οἱ καλῶς χρώμενοι αὐτοῖς, μεγαλοπρεπεῖς φαίνονται.

θʹ. Οὕτω δὲ καὶ ἔστιν ὁ μετεωρίζων ἑαυτὸν ἵππος σφόδρα ἢ καλὸν, ἢ θαυμαστὸν, ἢ ἀγαστὸν, ὡς πάντων τῶν ὁρώντων καὶ νέων καὶ γεραιτέρων τὰ ὄμματα κατέχει. οὐδεὶς γοῦν οὔτε ἀπολείπει αὐτὸν, οὔτε ἀπαγορεύει

6. Nam equus ad quæ præſtanda cogitur, ut Simo quoque monet, ea nec intelligit ipſe, nec magis pulchra ſunt, quam ſi quis hiſtrionem flagris & ſtimulis ad agendum impellat. Quippe multo plura fœde, quam belle peregerit, qui ſic excipiatur, & equus, & homo. Nimirum ex ſignis equus percipiens omnia pulcherrima pariter & ſplendidiſſima debet exhibere.

7. Quod ſi etiam, quoties equitationis motu exercetur equus, ad copioſumuſque ſudorem agitetur; quoties autem pulchre ſemet erigit, cito deſcendat, & frænum adimat: omnino fore, ſciendum, ut ad erigendum ſe non invitus accedat.

8. Atque hujuſmodi ſane in equis tam dii quam heroës, equitantes pingi ſolent; & homines, qui equis ſcite norunt uti, magnificentiam quandam præ ſe ferunt.

9. Eſt autem tam vehementer pulchrum quiddam equus ſemet erigens, tam admirandum atq; ſtupendum; ut omnium ſpectantium, tam juvenum quam ſenum, oculos detineat. Nemo certe vel ab eo diſcedit,

χορεύς θεώμενος, ἔστ' ἂν τὴν ἐπιδεικνύηται τὴν λαμπρότητα.

ι'. Ην γε μὴν ποτε συμβῇ τινι τοιοῦτον ἵππον κεκτημένον, ἢ φυλαρχῆσαι, ἢ ἱππαρχῆσαι, οὐ δεῖ αὐτὸν τοῦτο σπουδάζειν, ὅπως αὐτὸς μόνος λαμπρὸς ἔσται, ἀλλὰ πολὺ μᾶλλον ὅπως ὅλον τὸ ἑπόμενον ἀξιοθέατον φαίνηται.

ια'. Ην μὲν οὖν ἡγῆται, ὡς μάλιστα ἐπαινοῦσι τοὺς τοιούτους ἵππους, ὃς ἂν ἀνωτάτω αἰρόμενος καὶ πυκνότατα τὸ σῶμα, βραχύτατα προβαίνῃ, δηλονότι καὶ βάδην ἕποιντ' ἂν οἱ ἄλλοι ἵπποι αὐτῷ. ἐκ δὲ ταύτης τῆς ὄψεως τί ἂν καὶ λαμπρὸν γένοιτ' ἄν;

ιβ'. Ην δὲ ἐξεγείρας, τὸν ἵππον ἡγῆται μήτε τῷ ἄγαν τάχει, μήτε τῷ ἄγαν βραδεῖ, ὡς δ' εὐθυμότατοι ἵπποι, καὶ γοργότατοι, καὶ πονεῖν εὐσχημονέστατοι γίγνονται, ἐὰν ἡγῇ αὐτοῖς, οὕτως ἀθρόος μὲν ὁ κτύπος, ἀθρόον δὲ τὸ φρύαγμα καὶ τὸ φύσημα τῶν ἵππων συμπαρέποιτο. ὥστε οὐ μόνον αὐτὸς ἀλλὰ καὶ πάντες ὅσοι συμπαρεπόμενοι, ἀξιοθέατοι ἂν φαίνοιντο.

ιγ'. Ην

discedit, vel spectare desinit, dum splendorem ille suum ostentat.

10. Quod si contingat alicui, talem equum nacto, vel tribunatus, vel equitum magisterium; non hoc duntaxat eniti debet, ut solus ipse sit splendidus: sed multo magis ut comitatum universum spectatu dignum exhibeat.

11. Itaque si ex iis equis, cujusmodi maxime laudari solent, præcedat quispiam, qui summam ad altitudinem, & creberrime corpus erigens, paullatim admodum progrediatur; sequentur hunc equi scilicet alii gradatim. Et quid in hoc spectaculo splendidum fuerit?

12. At vero si ductor equum excitaverit, ac neque nimia cum celeritate, neque tarditate nimia, sed ea ratione præcedat, qua fiunt equi & animosissimi, & inprimis truces, & specie ad labores obeundos maxime decenti: eo nimirum modo & strepitus quidam repentinus, & repentinus hinnitus atque flatus equorum aderit. Itaque non ipse tantum, sed totus etiam comitatus spectatu dignus videbitur.

13. Si

ιγ'. Ἢν γε μέντοι τις καλῶς ἱππωνήσῃ, τρέφῃ δὲ ὡς πόνους δύνασθαι ὑποφέρειν, ὀρθῶς δὲ χρῆται καὶ ἐν τοῖς πρὸς πόλεμον μελετήμασι, καὶ ἐν ταῖς πρὸς ἐπίδειξιν ἱππασίαις, καὶ ἐν τοῖς πολεμικοῖς ἀγωνίσμασι, τί ἔτι ἐμποδὼν τούτῳ, μὴ οὐχὶ πλειονός τε ἀξίους ἵππους ποιεῖν, ἢ οὓς ἂν παραλαμβάνῃ, καὶ εὐδοκίμους μὲν ἵππους ἔχειν, εὐδοκιμεῖν δὲ αὐτὸν ἐν τῇ ἱππικῇ, ἢν μή τι δαιμόνιον κωλύῃ;

ΚΕΦ. ιβ'.

Γράψαι δὲ βουλόμεθα καὶ ὡς δεῖ ὡπλίσθαι τὸν μέλλοντα ἐφ' ἵππου κινδυνεύειν. πρῶτον μὲν τοίνυν φαμὲν χρῆναι τὸν θώρακα πρὸς τὸ σῶμα πεποιῆσθαι. τὸν μὲν καλῶς ἁρμόζοντα ἐκεῖνον φέρει τὸ σῶμα, τὸν δὲ ἄγαν χαλαρὸν οἱ ὦμοι μόνοι φέρουσιν. ὅ γε μὴν λίαν στενὸς, δεσμὸς, οὐχ ὅπλον ἐστίν.

β'. Ἐπεὶ

13. Si denique feliciter equum aliquis emerit, ad laborum tolerantiam educarit, eodem recte tum in exercitiis ad actiones bellicas, tum in agitationibus ad ostentationem comparatis, & in prœliorum certaminibus utatur: quid huic obstare possit amplius, quominus equos pretii majoris efficiat, quam eos acceperit; ac tum probatos habeat, tum ipse rei equestris gloria floreat, nisi divinitus impediatur?

CAP. XII.

His adjungere volumus & illam descriptionem, quonam modo armatum esse oporteat eum, qui periculum in equo sit aditurus. Primum ergo dicimus, loricam sive thoracem ad corpus factum esse debere. Si recte congruat, corpus ipsum hunc gestat: laxum nimis humeri soli portant. Admodum angustus, vinculum est, non armatura.

β'. Ἐπεὶ δὲ καὶ ὁ αὐχὴν ἐστὶ τῶν καιρίων, φαμὲν χρῆναι καὶ τούτῳ ἐξ αὐτοῦ τοῦ θώρακος ὅμοιον τῷ αὐχένι στέγασμα πεποιῆσθαι. τοῦτο γὰρ ἅμα κόσμον τε παρέξει, καὶ ἢν οἷον δεῖ εἰργασμένον ᾖ, δέξεται, ὅταν βούληται, τῷ ἀναβάτῃ τὸ πρόσωπον μέχρι τῆς ῥινός.

γ'. Κράνος γε μὴν κράτιστον εἶναι νομίζομεν τὸ Βοιωτιουργές. τοῦτο γὰρ αὖ στεγάζει μάλιστα πάντα τὰ ὑπερέχοντα τοῦ θώρακος, ὁρᾶν δὲ οὐ κωλύει. ὁ δ' αὖ θώραξ οὕτως εἰργάσθω, ὡς μὴ κωλύῃ μήτε καθίζειν μήτ' ἐπικύπτειν.

δ'. Περὶ δὲ τὸ ἦτρον, καὶ τὰ αἰδοῖα, καὶ τὰ κύκλῳ, αἱ πτέρυγες τοιαῦται καὶ τοσαῦται ἔστωσαν, ὥστε στέγειν τὰ μέλη.

ε'. Ἐπεὶ δὲ καὶ ἀριστερὰ χεὶρ ἢν τι πάθῃ, καταλύει τὸν ἱππέα, καὶ ταύτῃ ἐπαινοῦμεν τὸ εὑρημένον ὅπλον, τὴν χεῖρα καλουμένην. τόν τε γὰρ ὦμον σκεπάζει, καὶ τὸν βραχίονα, καὶ τὸν πῆχυν, καὶ τὸ ἐχόμενον τῶν ἡνιῶν, καὶ ἐκτείνεται δὲ καὶ συγκάμ-

2. Quia vero inter expoſita vulneribus letalibus & cervix eſt, fieri debere dicimus aptum cervici quoque tegumentum opere thoracario. Nam hoc & ornamentum adferet, & ſi juſto modo fabricatum fuerit, equitis faciem uſque ad nares, ubi ſic ille voluerit, intra ſe recipiet.

3. Galeam ducimus optimam, quæ Bœotii ſit operis. Etenim ea tegit extra thoracem eminentia prorſus omnia, nec proſpectum impedit. Thorax quoque ſic elaboratus ſit, ut nec in ſeſſione nec inclinatione prona ferat obſtaculum.

4. Circum partes inter umbilicum & pubem, cum pudendis, & aliis in horum ambitu, tales totque pinnæ ſunto ut illa membra tegantur.

5. Et quoniam ſiniſtra quoque manus ſi læſa ſit, equiti perniciem adfert; inventam & huic muniendæ laudamus armaturam, cui nomen manus inditum. Nam & humerum illa tegit, & brachium, & cubitum, & partes habenarum contiguas, ſimulq; tum extendi tum con-

συγκάμπτεται. πρὸς δὲ τούτοις, καὶ τὸ διαλεῖπον τοῦ θώρακος ὑπὸ τῇ μασχάλῃ καλύπτει.

ϛʹ. Τήν γε μὴν δεξιὰν ἐπαίρειν δεῖ, ἤν τε ἀκοντίσαι, ἤν τε πατάξαι βούληται. τοῦ μὲν οὖν θώρακος τὸ κωλῦον ταύτῃ ἀφαιρετέον, ἀντὶ δὲ τούτου πτέρυγες ὦσιν ἐν τοῖς γιγγλύμοις προσθεταί, ὅπως, ὅταν μὲν διαίρηται, ὁμοίως ἀναπτύσσωνται· ὅταν δὲ καθαιρῆται, ἐπικλείωνται.

ζʹ. Τῷ γε μὴν βραχίονι τὸ ὥσπερ κνημὶς παρατιθέμενον, ἀρκεῖν βέλτιον ἡμῖν δοκεῖ εἶναι, ἢ συνδεθὲν ὅπλῳ. τό γε μὴν ψιλούμενον αἰρομένης τῆς δεξιᾶς, στεγαστέον ἐγγὺς τοῦ θώρακος ἢ μοσχείῳ ἢ χαλκείῳ. εἰ δὲ μή, ἐν τῷ ἐπικαιριωτάτῳ ἀφύλακτον ἔσται.

ηʹ. Ἐπείπερ ἤν τι πάσχῃ ὁ ἵππος, ἐν παντὶ κινδύνῳ καὶ ὁ ἀναβάτης γίγνεται, ὁπλίζειν δὲ καὶ τὸν ἵππον προμετωπιδίῳ καὶ προστερνιδίῳ καὶ παραπλευριδίοις.

contrahi poteſt. Præterea partem ſub alis à thorace deſtitutam obtegit.

6. Dextram adtolli neceſſe eſt, ſive jaculum eques vibrare, ſeu percutere hoſtem voluerit. Quidquid igitur heic à thorace impedimentum adferre poteſt, removendum: & hujus loco pinnæ velut in quibuſdam cardinibus erunt adplicatæ, ut quum dextra diducitur, & ipſæ pariter explicentur; quum reducitur, viciſſim claudantur.

7. Quod inſtar tegumenti tibiarum adhibetur brachio, commodius nobis eſſe videtur ad eam partem tuendam, quam ſi adligatum ſit armaturæ: Quod nudari ſolet, dum dextra ſuſtollitur, muniendum juxta thoracem tegumento, vel è pelle vitulina, vel ære facto. Nam alioqui locus maxime letalis incuſtoditus erit.

8. Quoniam vero ſi quid equo accidat, etiam ſeſſor in periculo ſummo verſatur; armandus & equus ipſe, tum frontis, tum pectoris, atq; laterum tegumentis. Hæc

δίοις. ταῦτα γὰρ ἅμα καὶ τῷ ἀναβάτῃ παραμηρίδια γίγνεται. πάντων δὲ μάλιστα τοῦ ἵππου τὸν κενεῶνα δεῖ σκεπάζειν. καιριώτατον γὰρ ὄν, καὶ ἀσθενέστατόν ἐστι. δυνατὸν δὲ σὺν τῷ ἐφιππείῳ αὐτὸν σκεπάσαι.

θ΄. Χρὴ δὲ καὶ τὸ ἔποχον τοιοῦτον ἐρράφθαι, ὡς ἀσφαλέστερόν τε τὸν ἱππέα καθῆσθαι, καὶ τὴν ἕδραν τοῦ ἵππου μὴ σίνεσθαι. καὶ τὰ μὲν * δὴ ἄλλα [τοῦ ἵππου] οὕτω καὶ ὁ ἵππος καὶ ὁ ἱππεὺς ὡπλισμένοι ἂν εἶεν.

ι΄. Κνῆμαι δὲ καὶ πόδες ὑπερέχοιεν μὲν ἂν εἰκότως τῶν παραμηριδίων, ὁπλισθείη δὲ καὶ ταῦτα, εἰ ἐμβάται γένοιντο σκύτους ἐξ οἵου περ αἱ κρηπῖδες ποιοῦνται. οὕτω γὰρ ἂν ἅμα ὅπλον τε κνήμαις, καὶ ποσὶν ὑποδήματ' ἂν εἴη.

ια΄. Ὡς μὲν δὴ μὴ βλάπτεσθαι, θεῶν ἵλεων ὄντων, ταῦτα ὅπλα. ὡς δὲ τοὺς ἐναντίους βλάπτειν, μάχαιραν μὲν μᾶλλον, ἢ ξίφος ἐπαινοῦμεν. ἐφ' ὑψηλοῦ γὰρ ὄντι τῷ ἱππεῖ κοπίδος μᾶλλον ἡ πληγή, ἢ ξίφους ἀρκέσει.

ιβ΄. Ἀντὶ

enim & equitis femora muniunt. Omnium vero maxime protegendus equi venter. is enim & letalibus expositus est maxime vulneribus, & debilissimus. Potest autem ephippio protegi.

9. Debet illud etiam lorum, quod ephippium constringit & continet, sic esse consutum; ut & tutior equiti sit sessio, & equi sella non lædatur. Et aliis quidem partibus hoc modo & equus & eques armati sint.

10. Tibias autem cum pedibus exstare consentaneum est extra femorum tegumentum, munitæque fuerint hæ partes, si earum indumenta de illo corio fiant, ex quo crepidæ confici solent. Etenim hoc modo simul & armatæ tibiæ, & calceati pedes erunt.

11. Et hæc quidem ad hoc comparata sunt arma, ne lædi quis possit, modo dii propitii fuerint. Hostibus autem lædendis ensi præferenda machæra sive gladius incurvus. Nam ab equite, qui est in sublimi, vehementior est ictus copidis aut sicæ, quam ensis.

12. Hastæ

ιβ'. Ἀντί γε μὴν δόρατος καμακίνου, ἐπειδὴ καὶ ἀσθενὲς καὶ δύσφορόν ἐστι, τὰ κρανέινα δύο παλτὰ μᾶλλον ἐπαινοῦμεν. καὶ γὰρ ἐξαφιέναι τὸ ἕτερον δυνατὸν τῷ ἐπισταμένῳ, καὶ τῷ λειπομένῳ οἷόν τε χρῆσθαι καὶ εἰς τὸ ἀντίον, καὶ εἰς τὰ πλάγια, καὶ εἰς τοὔπισθεν· καὶ ἅμα ἰσχυρότερά τε τοῦ δόρατος καὶ εὐφορώτερά ἐστιν.

ιγ'. Ἀκόντισμά γε μὴν τὸ μακρότατον ἐπαινοῦμεν. καὶ γὰρ ἀποστρέψαι, καὶ μεταλαβεῖν παλτὸν οὕτω μᾶλλον ὁ χρόνος ἐγχωρεῖ. γράψομεν δὲ ἐν βραχεῖ καὶ ὡς ἄν τις κράτιστα ἀκοντίζοι.

ιδ'. Ἢν γὰρ προβαλλόμενος μὲν τὰ ἀριστερά, ἐπανάγων δὲ τὰ δεξιά, ἐξανιστάμενος δ' ἐκ τῶν μηρῶν, μικρὸν ἐπανακύπτουσαν τὴν λόγχην ἀφῇ, οὕτω σφοδρότατόν τε καὶ μακρότατον οἴσεται τὸ ἀκόντιον, εὐστοχώτατον μέντοι, ἐὰν κατὰ τὸν σκοπὸν ἀφιεμένη ἀεὶ ὁρᾷ ἡ λόγχη.

ιε'. Καὶ ταῦτα μὲν δὴ ἰδιώτῃ καὶ ὑπομνήματα καὶ μαθήματα

12. Hastæ fuscinatæ loco, quoniam illa fragilis est, & incommoda gestatu, potius corneas tragulas duas probamus. Etenim harum altera conjici potest à perito, altera reservari ad usum vel in adversos, vel à latere, vel à tergo constitutos: simulque firmiores hæ sunt, quam hastæ, ac gestatu commodiores.

13. Jaculi vibrationem, quæ longissimum ad spatium fiat, laudamus. Nam hoc modo plus temporis conceditur, ut se quispiam avertat, & tragulam denuo sumat. Scribemus etiam paucis, quæ jaculandi ratio sit optima.

14. Quippe si quis partes sinistras anterius protendens, & dextras reducens, deque femoribus insurgens, sursum erectam nonnihil cuspidem emiserit: ita nimirum & vehementissimo cum impetu, & longissime feretur jaculum, atque etiam dexterrime, siquidem emissa cuspis semper ad scopum spectat.

15. Et hæ quidem admonitiones, & documenta, & exercitia rudi adhuc equiti à nobis præscripta

ματα καὶ μελετήματα γεγράφθω ἡμῖν. ἃ δὲ ἱππάρχῳ προσήκειν εἰδέναι τε καὶ πράσσειν, ἐν ἑτέρῳ λόγῳ δεδήλωται.

ΞΕΝΟ-

ſcripta ſunto. Quæ vero tum ſcire tum exſequi conveniat equitum magiſtrum; alio libro declaravimus.

XENO-

ΞΕΝΟΦΩΝΤΟΣ
ΙΠΠΑΡΧΙΚΟΣ.

ΚΕΦ. α'.

ΠΡΩΤΟΝ μὲν θύοντα χρὴ αἰτεῖσθαι Θεοὺς ταῦτα διδόναι καὶ νοεῖν, καὶ λέγειν, καὶ πράττειν, ἀφ' ὧν Θεοῖς μὲν κεχαρισμενώτατα ἄρξειας ἄν, σαυτῷ δὲ καὶ φίλοις καὶ τῇ πόλει προσφιλέστατα, καὶ εὐκλεέστατα, καὶ πολυωφελέστατα.

β'. Θεῶν δὲ ἵλεων ὄντων, ἀναβιβαστέον μὲν σοι ἱππέας, καὶ ὅπως ἀναπληρῶται ὁ κατὰ τὸν νόμον ἀριθμὸς, καὶ ὅπως τὸ ὂν ἱππικὸν μὴ μειῶται. εἰ δὲ μὴ προσαναβήσονται ἱππεῖς, μείονες ἀεὶ ἔσονται. ἀνάγκη γὰρ τοὺς μὲν γήρᾳ ἀπαγορεύειν, τοὺς δὲ καὶ ἄλλως ἐκλείπειν.

γ'. Πλη-

XENOPHONTIS
DE MAGISTERIO EQUITUM.

CAP. I.

PRIMUM rem ſacram faciens, Deos precaberis, ut ea tibi concedant & intelligere, & proferre, & agere; de quibus & Diis gratiſſimum ſit imperium tuum, & tibi, amicis, reique publicæ cum primis acceptum, & glorioſum, & longe utiliſſimum.

2. Diis placatis, equites inſtruendi tibi ſunt, tum ut numerus lege præſcriptus compleatur, tum ne jam ante collectæ copiæ minuantur. Quippe ſi non accedant equites ad priores alii, pauciores ſemper evadent. Nam alios ob ſenectutem abdicare ſe neceſſe eſt; alios aliis de cauſſis deficere.

3. Poſt-

γ'. Πληρουμένου γε μὴν τοῦ ἱππικοῦ, ἐπιμελητέον μὲν ὅπως τρέφωνται οἱ ἵπποι, ὡς ἂν δύνωνται πόνους ὑποφέρειν. οἱ γὰρ ἥττους τῶν πόνων οὔτε αἱρεῖν, οὔτε ἀποφεύγειν δύναιντο ἄν. ἐπιμελητέον δὲ ὅπως εὔχρηστοι ὦσιν. οἱ γὰρ αὖ ἀπειθεῖς, τοῖς πολεμίοις μᾶλλον ἢ τοῖς φίλοις συμμαχοῦσι.

δ'. Καὶ οἱ λακτίζοντες δὲ ἀναβεβαμένοι ἵπποι ἐκποδὼν ποιητέοι. οἱ γὰρ τοιοῦτοι πολλάκις πλείω κακὰ ἢ οἱ πολέμιοι ποιοῦσιν. δεῖ δὲ καὶ τῶν ποδῶν ἐπιμελεῖσθαι, ὅπως δύνωνται καὶ ἐν τραχείᾳ χώρᾳ ἱππεύειν, εἰδότας ὅτι ὅπου ἂν ἀλγῶσιν ἐλαυνόμενοι, ἐνταῦθα οὐ χρήσιμοί εἰσιν.

ε'. Τῶν γε μὴν ἵππων ὑπαρχόντων οἵων δεῖ, τοὺς ἱππέας αὖ ἀσκητέον· πρῶτον μὲν, ὅπως ἐπὶ τοὺς ἵππους ἀναπηδᾷν δύνωνται. πολλοῖς γὰρ ἤδη ἡ σωτηρία παρὰ τοῦτο ἐγένετο. δεύτερον δὲ, ὅπως ἐν παντοίοις χωρίοις ἱππάζεσθαι δυνήσωνται. καὶ γὰρ οἱ πολέμιοι ἄλλοτε ἐν ἄλλοις τόποις γίγνονται.

ϛ'. Ὅταν δὲ ἤδη ἔποχοι ὦσιν, δεῖ αὖ σκοπεῖσθαι, ὅπως

3. Postquam equitatum compleveris, adhibenda cura, sic ut equi alantur, quo perferre labores possint. Quippe si laboribus impares sint, nec adtollere se, nec evadere fuga possunt. Id quoque curandum, ut ad usum idonei sint. Nam contumaces potius hostes quam suos in præliis juvant.

4. Etiam illi removendi sunt, qui calcitrant, postquam equitem susceperunt. Qui enim tales sunt, sæpe numero plus mali quam hostes, inferunt. Haberi debet & pedum ratio, ut etiam in aspera regione agitari possint; quum esse constet in iis locis inutiles, ubi dolorem in agitatione sentiunt.

5. Quum equi tales existunt, quales esse debent, exercendi & equites: ac primum, ut in equos insilire possint. Nam plerisque jam salus hinc parta. Alterum esto, ut in locis omnigenis equitare norint, quandoquidem & hostes alias in aliis locis existunt.

6. Ubi jam firmiter equis insederint, ejus erit habenda ratio, ut

ὅπως ἀκοντιῶσί τε ὡς πλεῖστον ἀπὸ τῶν ἵππων, καὶ τἄλλα δυνήσωνται ποιεῖν, ἃ δεῖ τοὺς ἱππικούς. μετὰ ταῦτα ὁπλιστέον καὶ ἵππους καὶ ἱππέας, ὡς αὐτοὶ μὲν ἥκιστα τιτρώσκοιντ᾽ ἄν, βλάπτειν δὲ τοὺς πολεμίους μάλιστα δύναιντ᾽ ἄν.

ζʹ. Ἐκ τούτου παρασκευαστέον, ὅπως εὐπειθεῖς οἱ ἄνδρες ὦσιν. ἄνευ γὰρ τούτου οὔθ᾽ ἵππων ἀγαθῶν, οὔτε ἱππέων ἐπόχων, οὔτε ὅπλων καλῶν ὄφελος οὐδέν. προστατεύειν μὲν οὖν τούτων πάντων, ὅπως καλῶς γίγνηται, τὸν ἵππαρχον εἰκός ἐστι.

ηʹ. Ἐπεὶ δὲ καὶ ἡ πόλις, χαλεπὸν ἡγησαμένη ταῦτα πάντα τὸν ἵππαρχον μόνον ὄντα ἀπεργάζεσθαι, προσαιρεῖται μὲν αὐτῷ συνεργοὺς φυλάρχους, προσέταξε δὲ τῇ βουλῇ συνεπιμελεῖσθαι τοῦ ἱππικοῦ, ἀγαθόν μοι δοκεῖ εἶναι, τοὺς μὲν φυλάρχους παρασκευάζειν συνεπιθυμεῖν σοι τῶν καλῶν τῷ ἱππικῷ· ἐν δὲ τῇ βουλῇ ἔχειν ῥήτορας ἐπιτηδείους, ὅπως λέγοντες φοβῶσί τε τοὺς ἱππέας, (βελτίονες γὰρ εἶεν φοβούμενοι) καταπραΰνωσί τε * τοὺς τῆς βουλῆς, ἤν τι παρὰ καιρὸν χαλεπαίνῃ. θʹ. Ταῦ-

ut ex equis jacula quam longissime vibrent, & alia facere possint, quæ facere viros equestres oportet. Secundum hæc armandi tum equi, tum equites; ut ipsi minime vulnerentur, & hostes damnis adficere maximis possint.

7. Hinc efficiendum, ut equites morigeri sint. Nam absque hoc nec equorum bonorum, nec equitum his recte insidentium, nec armorum elegantium usus ullus fuerit. Atq; his quidem omnibus, ut egregie fiant, præesse cum imperio magistrum equitum par est.

8. Et quia civitas rata difficile quiddam esse, perfici hæc à solo magistro equitum omnia, tribunos ei deligit adjutores, & consilium adjungit, cum mandato, ut equitatus curam una cum ipso gerat; recte mihi facturus videris, si tribunos sic instruas, ut tecum ea velint, quæ ad equitatus commoda pertineant; & oratores idoneos habeas in consilio, qui & dicendo terroré equitibus incutiant, melioribus in metu futuris, & eos in consilio mitigent, qui forte plus equo difficiles se præbituri sint.

θʹ. Ταῦτα μὲν οὖν ὑπομνήματα, ὧν δεῖ σε ἐπιμελεῖσθαι. ὡς δ' ἂν ἕκαστα τούτων βέλτιστα περαίνοιτο, τοῦτο δὴ πειράσομαι λέγειν. τοὺς μὲν τοίνυν ἱππέας δηλονότι καθιστάναι δεῖ κατὰ τὸν νόμον, τοὺς δυνατωτάτους καὶ χρήμασι καὶ σώμασιν, ἢ εἰσάγοντα εἰς δικαστήριον, ἢ πείθοντα.

ιʹ. Ἐγὼ δὲ οἶμαι εἰς μὲν τὸ δικαστήριον τούτους εἰσακτέον εἶναι, οὓς μὴ εἰσάγων διὰ κέρδος ἄν τις δοκοίη τοῦτο ποιεῖν. καὶ γὰρ τοῖς ἧττον δυναμένοις εὐθὺς ἂν εἴη * ἀποστροφὴ, εἰ τοὺς δυνατωτάτους πρώτους ἀναγκάζοις.

ιαʹ. Ἔτι δὲ καὶ οὕτως ἄν μοι δοκεῖ τις τοὺς νέους μὲν, τὰ ἐν ἱππικῇ λαμπρὰ λέγων, εἰς ἐπιθυμίαν καθιστάναι τοῦ ἱππεύειν, τοὺς δὲ κυρίους αὐτῶν ἧττον ἀντιτείνοντας ἔχειν, τάδε διδάσκων, ὡς ἀναγκασθήσονται μὲν ἱπποτροφεῖν, ἢν μὴ ὑπὸ σοῦ, ὑπ' ἄλλου γοῦν διὰ τὰ χρήματα.

ιβʹ. Ἢν δὲ ἐπὶ σοῦ ἀναβῶσιν, ὡς ἀποστρέψεις μὲν τοὺς παῖδας αὐτῶν τῶν πολυτελῶν γε καὶ μανι-

κῶν

9. Ac iſtæ quidem admonitiones ad ea ſpectant, quæ diligentiam tuam requirunt. Quo autem modo ſingula rectiſſime peragantur, nunc dicere adgredior. Equitum in numerum ex legis præſcripto referes eos, qui & facultatibus, & viribus corporis præſtent: idque vel in jus vocando, vel perſuadendo.

10. Sum autem in hac ego ſententia, ut hos in jus vocandos exiſtimem; quos niſi quis vocet, id quæſtus cauſſa facere videatur. Nam minus potentibus ſtatim hoc correctionis loco fuerit, ſi primos cogas, qui plurimum poſſint.

11. Præterea videtur hoc modo mihi quiſpiam & juvenes ad equitationis ſtudium adducturus, ſi ſplendorem equeſtris rei prædicet; & illos, quorum in poteſtate ſunt, minus adverſantes habiturus, ſi plane futurum oſtendat, ut propter opes alere cogantur equos, ſi non abs te, ſaltem ab alio quopiam.

12. Quod ſi tuis auſpiciis rei ſe dent equeſtri, te filios eorum à ſumtuoſis & inſanis equorum em-

tionibus

τῶν ἱππωνειῶν, ἐπιμελήσῃ δὲ ὡς ἂν ταχὺ ἱππικοὶ γίγνοιντο. λέγοντα δὲ οὕτω, καὶ ποιεῖν ταῦτα πειρατέον.

ιγ'. Τούς γε μὴν ὄντας ἱππέας ἡ βουλὴ ἄν μοι δοκεῖ, προειποῦσα ὡς τὸ λοιπὸν δεήσει διπλάσια ἱππάζεσθαι καὶ ὡς τὸν μὴ δυνάμενον ἵππον ἀκολουθεῖν ἀποδοκιμάσει, ἐπιτεῖναι ἂν τρέφειν τε ἄμεινον, καὶ ἐπιμελεῖσθαι μᾶλλον τῶν ἵππων.

ιδ'. Καὶ τοὺς βιαίους δὲ ἵππους ἀγαθόν μοι δοκεῖ εἶναι προρρηθῆναι, ὅτι ἀποδοκιμασθήσονται. αὕτη γὰρ ἡ ἀπειλὴ πωλεῖν ἂν τοὺς τοιούτους μᾶλλον παρορμήσειεν, καὶ ἱππωνεῖν σωφρονέστερον.

ιε'. Ἀγαθὸν δὲ καὶ τοὺς ἐν ταῖς ἱππασίαις λακτίζοντας ἵππους προρρηθῆναι ὅτι ἀποδοκιμασθήσονται. οὐδὲ γὰρ συντάττειν τοὺς τοιούτους δυνατόν, ἀλλ' ἀνάγκη, κἄν ποι ἐπὶ πολεμίους δέῃ ἐλαύνειν, ὑστάτους ἂν αὐτοὺς ἕπεσθαι. ὥστε διὰ τὴν τοῦ ἵππου κακουργίαν ἄχρηστος καὶ ὁ ἱππεὺς καθίσταται.

ιϛ'. Ὡς δ' ἂν καὶ οἱ πόδες εἶεν τῶν ἵππων κράτιστοι, εἰ μὲν

tionibus avocaturum, & operam daturum, ut equeſtris rei peritiam quamprimum conſequantur. Hæc vero quum dices, etiam præſtare conaberis.

13. Equites, quotquot operam navant in præſentia, ſic excitatum iri arbitror, ut melius & alant & curent equos; ſi conſilium eis futurum denuntiet, ut equitationes in poſterum duplicentur, & equi rejiciantur, qui pares in itinere aliis eſſe non poterunt.

14. Etiam hoc utile futurum arbitror, ut denuntietur, rejectum iri equos violentos. Nam hæc eos impulerit comminatio, tales ut equos vendant, & alios prudentius emant.

15. Bonum quoque denuntiari, futurum, ut calcitrantes in agitationibus equi rejiciantur. Nequeunt enim tales in acie collocari, ſed ubi ducendum in hoſtem, hos ultimos ſequi neceſſe eſt. Itaque propter improbitatem equi, nec equitis uſus aliquis eſt.

16. Ut autem & pedes equorum ſint optimi; ſi meliorem aliquis

μέν τις ἔχει ῥᾴω καὶ εὐτελεστέραν ἄσκησιν, ἐκείνη ἔστω· εἰ δὲ μή, ἐγώ φημι χρῆναι πεῖραν ἔχων, χύδην καταβαλόντα λίθους τῶν ἐκ τῆς ὁδοῦ, ὅσον μναιαίους, καὶ πλέον καὶ μεῖον, ἐν τούτοις τὸν ἵππον καὶ ψήχειν ἐνιστάναι, ὅταν ἀπὸ τῆς φάτνης ἀποβῇ. βαδίζων γὰρ ἐν τοῖς λίθοις οὔ ποτε ἵππος παύσεται, οὔθ' ὅταν ψήχηται, οὔθ' ὅταν μυωπίζηται. ὁ δὲ πειραθείς, τά τε ἄλλα ἃ λέγω πιστεύσει, καὶ στρογγύλους τοὺς πόδας τοῦ ἵππου ὄψεται.

ιζʹ. Ὁπότε γε μὴν οἱ ἵπποι εἰσὶν οἵους δεῖ, ὡς ἂν αὐτοὶ οἱ ἱππεῖς ἄριστοι γίγνοιντο, τοῦτο διηγήσομαι. τὸ μὲν τοίνυν τοὺς νέους αὐτῶν ἀναπηδᾷν ἐπὶ τοὺς ἵππους, πείθομεν ἂν αὐτοὺς μανθάνειν. τὸν διδάξαντα δὲ παρέχων, ἐπαίνου δικαίως ἂν τυγχάνοις. τούς γε μὴν πρεσβυτέρους τὸν Περσικὸν τρόπον ἀναβάλλεσθαι ὑπ' ἄλλων προσεθίσας, καὶ τούτους ὠφελήσαις ἄν.

ιηʹ. Ὅπως γε μὴν ἐν παντοδαποῖς χωρίοις ἔποχοι οἱ ἱππεῖς δυνήσονται εἶναι, τὸ μὲν πυκνὰ ἐξάγειν μὴ πολέμου ὄντος,

aliquis facilioremque rationem tenet, ea ſane utatur: ſin minus, equidem uſu edoctus aio, projiciendos paſſim lapides è via ſumtos, qui minæ pondus habeant, plus minuſve; atque in his conſtituendum equum ad deſtrictionem, quum à præſepi removetur. In illis enim lapidibus nunquam equus ingredi deſinet, ſive deſtringatur, ſeu pungatur. Qui periculum hujus rei fecerit, tum aliis, quæ profero, fidem habebit; tum pedes equi teretes effici conſpiciet.

17. Ubi jam equi fuerint, quales eſſe oportet: quonam modo equites ipſi futuri ſint optimi, nunc commemorabo. Junioribus quidem inter eos auctores ſimus, ut in equos inſilire diſcant. Laudem vero jure mereberis, ſi quem eis adhibueris, qui doceat. Ætate provectioribus haud parum profueris, ſi conſuefeceris eos, ut more Perſico ab aliis in equos ſubleventur.

18. Ad hoc autem, ut equites omnigenis in locis firmiter equis inſidere poſſint, frequenter educere, quum bellum non geritur,

ὄντος, ἴσως ὀχληρόν· συγκαλέσαντα δὲ χρὴ τοὺς ἱππέας συμβουλεῦσαι αὐτοῖς μελετᾶν, καὶ ὅταν εἰς χώραν ἐλαύνωσι, καὶ ὅταν ἄλλοσέ ποι, ἐκβιβάζοντας τῶν ὁδῶν, καὶ ταχὺ ἐλαύνοντας ἐν τόποις παντοδαποῖς. τοῦτο γὰρ ὠφελεῖ μὲν παραπλησίως τῷ ἐξάγειν, ὄχλον δ' οὐχ ὁμοίως παρέχει.

ιθ'. Ἐπιτήδειον δὲ ὑπομιμνήσκειν, ὅτι καὶ ἡ πόλις ἀνέχεται δαπανῶσα εἰς τὸ ἱππικὸν ἐγγὺς τετταράκοντα τάλαντα τοῦ ἐνιαυτοῦ, ὡς, ἢν πόλεμος γίγνηται, μὴ ζητεῖν δέῃ ἱππικόν, ἀλλ' ἐξ ἑτοίμου ἔχῃ παρεσκευασμένῳ χρῆσθαι. ταῦτα γὰρ ἐνθυμουμένους εἰκὸς καὶ τοὺς ἱππέας μᾶλλον ἀσκεῖν τὴν ἱππικήν, ὅπως, ἢν πόλεμος ἐγείρηται, μὴ ἀμελήτους ὄντας ἀγωνίζεσθαι δέῃ περί τε τῆς πόλεως, καὶ περὶ εὐκλείας καὶ περὶ τῆς ψυχῆς.

κ'. Ἀγαθὸν δὲ καὶ τοῦτο προειπεῖν τοῖς ἱππεῦσιν, ὅτι ἐξάγεις ποτὲ καὶ σὺ αὐτούς, καὶ διὰ παντοίων χωρίων ἡγήσῃ. καὶ ἐν ταῖς μελέταις δὲ ταῖς * πρὸς τῆς ἀνθιππασίας καλὸν ἐξάγειν ἄλλοτε εἰς ἀλλοῖον τόπον.

tur, fortasse molestum fuerit. Itaque convocatis equitibus consulere debes, ut exercitiis utantur, sive rus in equis provehantur, seu alio pergant; è viis declinando, & omnigenis in locis equos celeriter agendo. Nam hoc & parem cum educendo habet utilitatem, nec molestiæ tantum exhibet.

19. Commodum id etiam eis in memoriam revocari, quod civitas in equitatum ad XL talenta propemodum quotannis impendere cogatur: ut si bellum existat, equitatus ei quærendus non sit, sed in promptu habeat, quo instructo possit uti. Nam vero consentaneum est, equites hæc cum animis suis expendentes, rem equestrem diligentius exercituros: ut bellum si moveatur, non inexercitatis de patria, de honore ac gloria, de vita sit dimicandum.

20. Bonum quoque denuntiari equitibus, te nonnunquam eos educturum, ac per omnigena loca præiturum. In exercitiis etiam contrariarum provectionum, in alia atq; alia loca nonnunquam educere

πον. καὶ γὰρ τοῖς ἱππεῦσι καὶ τοῖς ἵπποις βέλτιον.

κα'. Ἀκοντίζειν γε μὴν ἀπὸ τῶν ἵππων ὧδ' ἂν πλεῖστοι μοι δοκοῦσι μελετᾷν, εἰ τοῦτ' αὖ προείποις τοῖς φυλάρχοις, ὅτι αὐτοὺς δεήσει ἡγουμένους τοὺς τῆς φυλῆς ἀκοντιστὰς ἐλαύνειν ἐπὶ τὸ ἀκόντιον. φιλοτιμοῖντο γὰρ ἄν, ἢ εἰκός, ὡς πλείστους ἕκαστος ἀποδεῖξαι ἀκοντιστὰς τῇ πόλει.

κβ'. Ἀλλὰ μὴν τοῦ καλῶς γε ὁπλισθῆναι τοὺς ἱππέας οἱ φύλαρχοι ἄν μοι δοκοῦσι μέγιστον συλλαμβάνειν, εἰ πεισθείησαν, ὅτι πολὺ ἐστι πρὸς τῆς πόλεως εὐδοξότερον τῇ τῆς φυλῆς λαμπρότητι κεκοσμῆσθαι, ἢ μόνον τῇ ἑαυτοῦ στολῇ.

κγ'. Εἰκὸς δὲ μὴ δυσπειστοὺς εἶναι αὐτοὺς τὰ τοιαῦτα, οἵγε φυλαρχεῖν ἐπεθύμησαν δόξης καὶ τιμῆς ὀρεγόμενοι. δυνατοὶ δ' εἰσὶ κατὰ τὰ ἐν τῷ νόμῳ ὁπλίσαι, καὶ ἄνευ τοῦ αὐτοὶ δαπανᾷν τῷ μισθῷ ἐπαναγκάζοντες κατὰ τὸν νόμον ὁπλίζεσθαι.

κδ'. Εἰς γε μὴν τὸ εὐπειθεῖς εἶναι τοὺς ἀρχομένους, μέγα

μὲν

cere prodest: hoc enim & equitibus & equis utilius.

21. Ex equis autem jaculari, mea quidem opinione, sic plurimi consuescent, si tribunis futurum denuntiaveris, ut ipsi duces cogantur cujusque tribus jaculatores ad exercitia jaculandi adigere. Nam excitabuntur ambitione quadam; ceu videtur, ut quisque jaculatores civitati quamplurimos instruat.

22. Ad id quoque tribuni plurimum mihi videntur momenti adlaturi, ut equites egregie sint armati; si persuasum eis fuerit, multo ad civitatem esse gloriosius, splendore tribus ornari, quam suo duntaxat indumento.

23. Nec difficulter hoc ipsis persuaderi posse crediderim, quum honoris & gloriæ studio tribunatum ambiverint. Poterunt autem suis arma secundum legem imperare, sineque suis impensis equites adigere de præscripto legis, ut arma sibi de stipendio suo comparent.

24. Ut vero qui reguntur abs te, libenter pareant; non leve quid-

μὲν καὶ τῷ λόγῳ διδάσκειν, ὅσα ἀγαθὰ ἔνι ἐν τῷ πειθαρχεῖν, μέγα δὲ καὶ τῷ ἔργῳ κατὰ τὸν νόμον πλεονεκτεῖν μὲν ποιεῖν τοὺς εὐτάκτους, μειονεκτεῖν δὲ ἐν πᾶσι τοὺς ἀτακτοῦντας.

κε'. Ἰσχυροτάτη δέ μοι δοκεῖ εἶναι παρόρμησις τῶν φυλάρχων εἰς τὸ φιλοτιμεῖσθαι αὐτοὺς καλῶς παρεσκευασμένους ἕκαστον τῆς φυλῆς ἡγεῖσθαι, εἰ τοὺς ἀμφί σε προδρόμους κοσμήσαις μὲν ὅπλοις ὡς κάλλιστα, ἀκοντίζειν δὲ μελετᾷν ἐξαναγκάσαις ὡς μάλιστα, εἰσηγοῖο δὲ αὐτοῖς ἐπὶ τὸ ἀκόντιον, αὐτὸς δὲ εὖ μάλα μεμελετηκώς.

κϛ'. Εἰ δὲ καὶ ἆθλά τις δύναιτο προθεῖναι ταῖς φυλαῖς πάντων, ὁπόσα ἀγαθὰ νομίζουσιν ἀσκεῖσθαι ἐν ταῖς ὑπὸ τοῦ ἱππικοῦ, τοῦτον πάντας οἶμαι Ἀθηναίους γε μάλιστα προτρέπειν εἰς φιλονεικίαν. δῆλον δὲ τοῦτο καὶ ἐν τοῖς χοροῖς, ὡς μικρῶν ἄθλων ἕνεκα πολλοὶ μὲν πόνοι, μεγάλαι δὲ δαπάναι τελοῦνται. τοὺς μέντοι κριτὰς τοιού-

τους

quiddam, verbis oſtendere quam multa commoda contineat obedientia; ſed magnum aliquid in hoc quoque, ſi ſecundum legem reabſe potior efficiatur morigerorum conditio, contraque deteriori loco in omnibus ſint contumaces.

25. Vis autem in hoc mihi maxima videtur eſſe ad impellendos tribunos, ut ambitioſe dent operam quo ſuam quiſque tribum egregie inſtructi ducant; ſi quos circum te præcurſores habebis, pereleganter armis ornaveris, maximeque jaculationum ad exercitia coegeris, & auctor ad jaculandum fueris, ipſemet in hoc genere plurimum exercitatus.

26. Quod ſi quis etiam tribubus eorum omnium præmia proponere poſſit, quæcumque in ſpectaculis exerceri ab equitatu præclare ſolent; eum ego facillime cunctos Athenienſes ad ſtudia contentionum excitaturum arbitror. In ludorum id quidem adparatu perſpicitur, quam modicorum præmiorum cauſſa multi labores magnique ſumtus impendantur. Judices ejuſmodi reperiendi

τοῖς δ' εὑρίσκειν, παρ' οἷς νικῶντες μάλιστ' ἂν ἀγάλλοιντο.

ΚΕΦ. β'.

Ἢν δὲ δή σοι ταῦτα πάντα ἐξησκημένοι ὦσιν οἱ ἱππεῖς, δεῖ δήπου καὶ τάξιν τινὰ ἐπίστασθαι αὐτούς, ἐξ ἧς καλλίστας μὲν θεοῖς πομπὰς πέμψουσι, καὶ κάλλιστα δὲ ἱππάσονται, ἄριστα δὲ μαχοῦνται, ἢν δέῃ, ῥᾷστα δὲ καὶ ἀταρακτότατα ὁδοὺς πορεύσονται, καὶ διαβάσεις περάσουσιν. ᾗ τοίνυν χρώμενοι τάξει δοκοῦσιν ἄν μοι ταῦτα κάλλιστα διαπράττεσθαι, ταύτην νῦν ἤδη πειράσομαι δηλοῦν.

β'. Οὐκοῦν ὑπὸ μὲν τῆς πόλεως ὑπάρχουσι διῃρημέναι φυλαί. τούτων δὲ ἐγώ φημι χρῆναι πρῶτον μὲν δεκαδάρχους, σὺν τῇ τῶν φυλάρχων ἑκάστου γνώμῃ, καταστῆσαι ἐκ τῶν ἀκμαζόντων τε καὶ φιλοτιμοτάτων καλόν τι ποιεῖν καὶ ἀκούειν. καὶ τούτους μὲν * πρωτοστάτας δεῖ εἶναι.

γ'. Μετὰ δὲ τούτους ἴσους χρὴ τούτοις ἀριθμὸν ἐκ

τῶν

di sunt, apud quos si victoria potiantur, inprimis exultent.

CAP. II.

UBi jam equites in his omnibus exercitati fuerint, etiam ordinis esse peritos oportet: cujus observatione fiet, ut pulcherrimas Diis pompas agant, in equitationibus cum laude se gerant, fortissime sic usu poscente dimicent, expeditissime ac minima cum perturbatione itinera conficiant, transitusque difficiles superent. Quo autem ordine utendo hæc mihi rectissime perfecturi videantur, eum declarare nunc adgrediar.

2. Distinctæ sunt in civitate tribus: In his inquam ego debere primum, non sine tribunorum singulorum judicio & sententia, decuriones ex illorum numero constitui qui & ætate vigeant, & ambitione maxima quadam in hoc ferantur, ut aliquid egregium & peragant, & audiant. Hi principes in ordine collocantor.

3. Secundum eos totidem numero de provectioribus & inprimis

τῶν πρεσβυτάτων τε καὶ φρονιμωτάτων ἐλέσθαι, οἵτινες τελευταῖοι τῶν δεκάδων ἔσονται. εἰ γὰρ δεῖ καὶ ἀπεικάσαι, οὕτω καὶ σίδηρος μάλιστα διατέμνει σίδηρον, ὅταν τό, τε ἡγούμενον, τὸ δὲ μέσον ἐῤῥωμένον ᾖ, καὶ τὸ ἐπελαυνόμενον ἱκανόν.

δ΄. Τοὺς γε μὴν ἐν μέσῳ τῶν πρώτων καὶ τῶν τελευταίων, ἐπεὶ οἱ δεκάδαρχοι ἐπιστάτας ἕλοιντο, καὶ οἱ ἄλλοι ἐφέποιντο, οὕτως εἰκὸς ἑκάστῳ πιστότατον τὸν ἐπιστάτην εἶναι.

ε΄. Τὸν μέντοι ἀφηγούμενον ἐκ παντὸς τρόπου δεῖ ἱκανὸν ἄνδρα καθιστάναι. ἀγαθὸς γὰρ ὤν, εἴτε ποτὲ δέοι ἐπὶ πολεμίους ἐλαύνειν, ἐγκελεύων ῥώμην ἂν ἐμβάλοι τοῖς ἔμπροσθεν· εἴτ' αὖ καὶ ἀποχωρεῖν καιρὸς συμβαίνοι, φρονίμως ἀφηγούμενος μᾶλλον ἄν, ὡς τὸ εἰκός, σώζοι τοὺς φυλέτας.

ϛ΄. Οἱ μέντοι δεκάδαρχοι ἄρτιοι ὄντες, πλείω ἴσα μέρη παρέχοιεν ἂν διαιρεῖν, ἢ εἰ περιττοὶ εἶεν. αὕτη δέ μοι ἡ τάξις ἀρέσκει διὰ τάδε, ὅτι πρῶτον μὲν οἱ πρωτοστάται πάντες ἄρχοντες γίγνονται. οἱ δ' αὐτοὶ

ἄνδρες

primis prudentibus deligendi, qui ultimi ſint in hiſce decuriis. Nam ſi comparatione res explicanda, ferrum quoque ſic ferrum maxime ſcindit, quum ejus & anterior & media pars valida, non deſtituitur ab eo quod vires ad impellendum idoneas habeat.

4. Quod medios inter primos & ultimos adtinet, poſtquam decuriones ſibi proximos delegerint adſtites, aliis hos ſequentibus; ita par creditu ſcilicet, quemlibet ſibi fideliſſimum adſtitem habiturum.

5. Ducem ſane modis omnibus idoneum conſtitui oportet. Nam ſi vir ille fortis ſit, ſive pergendum aliquando in hoſtes erit, cohortatione ſua robur anterioribus indet; ſeu recipiendi ſe tempus adſit, prudenter abducendo tribules haud abs re melius conſervaturus videtur.

6. Jam ſi decuriones numero pares fuerint, plures partes æquales efficient dividendo, quam ſi fuerint impares. Hic ordo mihi de cauſſis hiſce probatur, quod ita primum omnes principis loco conſtituti cum imperio futuri ſunt. Iidem

ἄνδρες ὅταν ἄρχωσι, μᾶλλόν πως οἴονται ἑαυτοῖς προσήκειν τι καλὸν ποιεῖν, ἢ ὅταν ἰδιῶται ὦσιν. ἔπειτα δὲ καὶ ὅταν πρακτέον τι ᾖ, τὸ παραγγέλλειν μὴ ἰδιώταις, ἀλλὰ ἄρχουσι, πολὺ ἀνυτικώτερον.

ζ'. Τεταγμένων γε μὴν οὕτως, χρὴ ὥσπερ καὶ τοῖς φυλάρχοις παραγορεύεται ἡ χώρα ὑπὸ τοῦ ἱππάρχου, ἐν ᾗ ἑκάστῳ ἐλατέον, οὕτω καὶ τοῖς δεκαδάρχοις παρηγγέλθαι ὑπὸ τῶν φυλάρχων, ὅπως πορευτέον ἑκάστῳ. οὕτω γὰρ προειρημένων, πολὺ εὐτακτοτέρως ἂν ἔχοι, ἢ εἰ, ὥσπερ ἐκ θεάτρου, ὡς ἂν τύχωσιν ἀπιόντες λυπῶσιν ἀλλήλους.

η'. Καὶ μάχεσθαι δὲ μᾶλλον ἐθέλουσιν οἵτε πρῶτοι, ἤν τι ἐκ τοῦ πρόσθεν προσπίπτῃ, οἳ ἂν εἰδῶσιν, ὅτι αὕτη ἡ χώρα αὐτῶν· καὶ οἱ τελευταῖοι, ἤν τι ὄπισθεν ἐπιφέρηται, ἐπιστάμενοι ὅτι αἰσχρὸν λιπεῖν τὴν τάξιν.

θ'. Ατακτοι δ' ὄντες ἀλλήλους μὲν ταράττουσι καὶ ἐν στεναῖς ὁδοῖς, καὶ ἐν διαβάσεσι, τοῖς δὲ πολεμίοις

dem vero, qui cum imperio ſunt, magis ad ſe quodam modo pertinere putant, ut egregium aliquid gerant, quam ſi privati ſint. Deinde quum aliquid agendum eſt, multo efficacius eſt, quod per eos denuntiatur, qui cum imperio ſunt, quam quod opera privatorum.

7. His hoc ordine collocatis, quemadmodum ab equitum magiſtro prædici tribunis ſolet, quo provehi loco quiſque debeat: ſic & decurionibus denuntiatum à tribunis eſſe oportet, quo loco ſingulis pergendum. Nam hæc ſi prius indicata fuerint, longe meliori ordine fient omnia, quam ſi perinde ac de theatro, temere fortuitoque diſcedentes, mutuo ſemet offenderint.

8. Etiam paratiores animis ad pugnam ſunt anteriores, ſi ex adverſo quid irruat, ubi locum hunc ſuum eſſe norunt: nec minus ultimi, ſi à tergo fiat in eos impetus, quum ſciant eſſe turpe, locum in acie ſuum deſerere.

9. Sin ordo nullus ſervetur, ſeipſos & anguſtis in itineribus, & locis difficilibus ſuperandis, perturbant:

μόνοις οὐδεὶς ἑκὼν αὐτὸν ἐθέλει μάχεσθαι. καὶ ταῦτα μὲν δὴ πάντα ὑπάρχειν δεῖ ἐκπεπονημένα πᾶσι τοῖς ἱππεῦσιν, εἰ μέλλουσιν ἀπροφάσιστοι ἔσεσθαι συνεργοὶ τῷ ἡγουμένῳ.

ΚΕΦ. γʹ.

ΤΩΝ δέ γε μὴν αὐτῷ ἤδη μέλειν δεῖ τῷ ἱππάρχῳ. πρῶτον μὲν, ὅπως καλλιερήσῃ τοῖς θεοῖς ὑπὲρ τοῦ ἱππικοῦ· ἔπειτα, ὅπως τὰς πομπὰς ἐν ταῖς ἑορταῖς ἀξιοθεάτους ποιήσῃ· ἔτι δὲ καὶ τἄλλα, ὅσα ἐπιδεικνύναι δεῖ τῇ πόλει, ὅπως ᾖ δυνατὸν, κάλλιστα ἐπιδείξῃ, τάτ᾽ ἐν Ἀκαδημίᾳ, καὶ τὰ ἐν Λυκείῳ, καὶ τὰ Φαλαροῖ, καὶ τὰ ἐν τῷ ἱπποδρόμῳ· καὶ ταῦτα μὲν ἄλλα ὑπομνήματα. ὡς δὲ τούτων ἕκαστα κάλλιστα ἂν πράττοιτο, νῦν αὐτὰ λέξω.

βʹ. Τὰς μὲν οὖν πομπὰς οἴομαι ἂν καὶ τοῖς θεοῖς κεχαρισμενωτάτας καὶ τοῖς θεαταῖς εἶναι, εἰ ὅσων ἱερὰ καὶ ἀγάλματα ἐν τῇ ἀγορᾷ ἐστι, ταῦτα, ἀρξάμενοι ἀπὸ τῶν Ἑρμῶν,

κύκλῳ

turbant: nec quisquam est, qui sponte sua se ad pugnandum cum hoste componat. Et in his quidem omnino equites universi prorsus esse debent exercitati, modo duci operam sine recusatione navaturi sunt.

CAP. III.

AT ipsi equitum magistro hæc esse curæ debent. Primum, ut pro equitatus incolumitate Diis rite litet: Deinde, ut feriis pompas spectatu dignas exhibeat. Præterea & alia, quæ civitati exhibenda sunt, ut quampulcherrime pro virili exhibeat: tum in Academia, tum Lyceo, & Phalaro, & in hipprodromo: quæ quidem admonitiones aliæ sunt. Quo autem modo hæc singula pulcherrime peragi possint, nunc dicam.

2. Pompas & Diis & spectatoribus fore gratissimas arbitror, si quotquot Deorum tam fana quam signa sunt in foro, Mercurialibus à statuis exorsi, un-

κύκλῳ περὶ τὴν ἀγορὰν καὶ τὰ ἱερὰ περιελαύνοιεν τιμῶντες τοὺς θεούς. καὶ ἐν τοῖς Διονυσίοις δὲ οἱ χοροὶ προσεπιχαρίζονται, ἄλλοις τε θεοῖς, καὶ τοῖς δώδεκα χορεύοντες. ἐπειδὰν δὲ πάλιν πρὸς τοῖς Ἑρμαῖς γένωνται περιεληλακότες, ἐντεῦθεν καλόν μοι δοκεῖ εἶναι κατὰ φυλὰς εἰς τάχος ἀνιέναι τοὺς ἵππους μέχρι τοῦ Ἐλευσινίου.

γ΄. Οὐδὲ δόρατα μὴν παραλείψω, ὡς ἥκιστα ἂν ἀλλήλοις ἐπαλλάττοιντο. δεῖ γὰρ μεταξὺ τοῖν ὤτοιν τοῦ ἵππου ἕκαστον σχεῖν, εἰ μέλλοι φοβερά τε καὶ εὐκρινῆ ἔσεσθαι, καὶ ἅμα πολλὰ φανεῖσθαι.

δ΄. Ἐπειδὰν δὲ τῆς εἰς τάχος διελάσεως λήξωσι, τὴν ἄλλην ἤδη καλὸν βάδην εἰς τὰ ἱερά, ᾗπερ καὶ πρόσθεν, διελαύνειν. καὶ οὕτως ὅσα ἐστὶν ἤδη ἐν ἵππῳ * ἀναβεβαμένῳ πάντα ἐπιδεδειγμένα ἔσται καὶ τοῖς θεοῖς καὶ τοῖς ἀνθρώποις.

ε΄. Καὶ ὅτι μὲν ταῦτα οὐκ εἰθισμένοι ποιεῖν οἱ ἱππεῖς εἰσιν, οἶδα· γιγνώσκω δέ, ὅτι ἀγαθά, καὶ καλά, καὶ τοῖς θεα-

dique in honorem Deorum forum ac fana circumequitent. Liberalibus autem chori præterea gratificari ſolent tum aliis tum duodecim Diis tripudiando. Ubi jam circumvecti rurſus ad ſigna Mercurialia pervenerint, tum deinde pulchrum mihi fore videtur, ſi per tribus equi celerius uſque ad Eleuſinium incitentur.

3. Nec de haſtis omittam, quomodo illæ neutram in partem minime ſibi mutuo illidantur. Debent enim ſinguli ſuas haſtas inter aures equi tenere, ſi quidem & terribiles, & diſtinctu faciles futuræ ſint, & ſpeciem multitudinis exhibituræ.

4. Poſtquam celerior iſtæc agitatio finem habuerit, pulchrum rurſus eos mutata ratione procedendi, eadem via, qua prius, ad fana pedetentim revehi: quo quidem modo fiet, ut quidquid eſt in equo, cui eques inſidet, & Diis & hominibus exhibitum ſit.

5. Nec equidem ignoro, minime ad iſta facienda equites adſuetos eſſe: ſed nihilo minus hæc & egregia, & pulchra, & ſpectatoribus

θεαταῖς ἡδέα ἔσται. αἰσθάνομαι δὲ καὶ ἄλλα ἀγωνίσματα τοὺς ἱππέας κεκαινουργηκότας, ἐπειδὴ οἱ ἵππαρχοι ἱκανοὶ ἐγένοντο πεῖσαι ἃ ἠβουλήθησαν.

ϛ'. Ὅταν γε μὴν πρὸ τοῦ ἀκοντισμοῦ διελαύνωσιν ἐν Λυκείῳ, καλὸν ἑκατέρας τὰς πέντε φυλὰς ἐπὶ τοῦ μετώπου ἐλαύνειν, ὥσπερ εἰς μάχην, ἡγουμένου τοῦ ἱππάρχου καὶ τῶν φυλάρχων ἐν τοιαύτῃ τάξει, ἀφ' ἧς πληρώσεται τοῦ δρόμου τὸ πλάτος.

ζ'. Ἐπειδὰν δὲ ὑπερβάλλωσι τὸ κεφάλαιον τοῦ ἀντιπροσώπου θεάτρου, χρήσιμον ἂν οἴομαι φανῆναι, καὶ εἰ καθ' ὁπόσους μέτριον εἰς τὸ κάταντες δυναμένους ταχὺ ἐλαύνειν ἐπιδείξαις τοὺς ἱππέας.

η'. Οὐ μέντοι ἀγνοῶ, ὅτι ἢν μὲν πιστεύωσι δυνήσεσθαι ταχὺ ἐλαύνειν, πάνυ ἂν ἡδέως ἐπιδείξαιντο. ἢν δὲ ἀμελέτητοι ὦσιν, ὁρᾶν χρή, ὅπως μὴ οἱ πολέμιοι αὐτοὺς τοῦτο δρᾶν ἀναγκάσωσιν.

θ'. Ἐν γε μὴν ταῖς δοκιμασίαις ἡ μὲν τάξις εἴρηται, μεθ' ἧς ἂν κάλλιστα ἱππάζοιντο. ἐὰν δὲ ὁ ἡγούμενος, ἤνπερ ἔχῃ δυνατὸν

bus jucunda fore judico. Quin & alia quædam ab equitibus instituta certamina nova intelligo, postquam magistri equitum eis persuadere potuerunt, quæ voluissent.

6. Quoties quidem in Lyceo ante jaculationem agitationes instituunt equites, sane pulchrum quiddam fuerit, utrasque tribus quinque tanquam ad prælium à fronte provehi, ducente magistro equitum & tribunis ordine tali, quo curriculi latitudo expleatur.

7. Ubi vero cardinem adversi theatri superaverint, utile visum iri arbitror, si tot simul equites, quot modice satis erit, per declivia provehi posse celeriore cursu ostenderis.

8. Neque me fugit, libenter eos hæc exhibituros, si concitatius equos agere se posse confidant. At vero si maneant inexercitati, videndum, ne hostes hæc eos aliquando facere cogant.

9. Dictum de ordine in lustrationibus, quo pulcherrima institui equitatio possit. Si vero ductor, à valido instructus equo, in

δυνατὸν ἵππον, ἐν τῷ ἔξωθεν ἀεὶ στίχῳ περιφέρηται, * οὗτος αὐτός μὲν ἀεὶ ταχὺ ἐλᾷ, καὶ οἱ σὺν αὐτῷ ἔξωθεν γιγνόμενοι πάλιν αὖ ταχὺ ἐλῶσιν. ὥστε ἡ μὲν βουλὴ ἀεὶ τὸ ταχὺ ἐλαυνόμενον θεάσεται, οἱ δὲ ἵπποι οὐκ ἀπεροῦσιν, ἐν μέρει ἀναπαυόμενοι.

ι'. Ὅταν γε μὴν ἐν τῷ ἱπποδρόμῳ ἡ ἐπίδειξις ᾖ, καλὸν μὲν οὕτω πρῶτον τάξασθαι, ὡς ἂν ἐπὶ μετώπου ἐμπλήσαντες ἵππων τὸν ἱππόδρομον, ἐξελάσαι τοὺς ἐκ τοῦ μέσου ἀνθρώπους.

ια'. Καλὸν δ' ἐπεὶ αἱ φυλαὶ ἐν τῇ ἀνθιππασίᾳ φεύγουσί τε ἀλλήλους, καὶ διώκουσι ταχέως, ὅταν οἱ ἵππαρχοι ἡγῶνται ταῖς πέντε φυλαῖς, ἑκατέρας διελαύνειν τὰς φυλὰς δι' ἀλλήλων. ταύτης γὰρ τῆς θέας τό, τε ἀντιμετώποις προσελαύνειν ἀλλήλοις, γοργόν· τό, τε διελάσαντας τὸν ἱππόδρομον ἀντίους πάλιν στῆναι ἀλλήλοις, σεμνόν.

ιβ'. Καὶ τὸ ἀπὸ σάλπιγγος αὖ τὸ δεύτερον θᾶττον ἐπελαύνειν, καλόν. στάντας δὲ ἤδη τὸ τρίτον αὖ ἀπὸ τῆς σάλ-

πιγγος

in exteriore semper serie circumvehatur; ita fiet ut semper ipse celerius equum incitet, & qui exterius cum eo sunt, concitatius itidem ferantur. Itaque consilium semper aliquos velocius agitantes inspiciet, & viribus equi non deficient, dum vicissim quies eis concedetur.

10. Quum autem in hippodromo spectaculum edendum erit, pulchrum sane sic eos primum instrui, ut à fronte compleatur equis hippodromus; & è medio, qui erunt illic homines, exigantur.

11. Pulchrum & hoc, si dum tribus in adversa provectione se mutuo fugiunt, & celeriter insequuntur, magistris equitum tribus quinque ducentibus, sese mutuo tribus utræque perequitent. In hoc enim spectaculo terribile quiddam est, quod adversis frontibus contra se provehâtur; & plenum splendoris, quod hippodromo perequitato, rursus adversi contra se consistant.

12. Itidem pulchrum, ad alterum tubæ signum celerius eos contra se ferri. Quum vero jam constiterint, tertia vice rursus post

tubæ

πιγγος δεῖ τάχιστα ἀλλήλοις ἐπελαύνειν, καὶ διελάσαντας εἰς κατάλυσιν ἤδη, ἐπὶ φάλαγγος ἅπαντας καταστάντας, ὥσπερ εἰώθατε, πρὸς τὴν βουλὴν προσελαύνειν.

ιγʹ. Ταῦτά μοι δοκεῖ πολεμικώτερά τε φαίνεσθαι ἂν, καὶ καινότερα. τὸ δὲ βραδύτερον μὲν τῶν φυλάρχων ἐλαύνειν, τὸν δʼ αὐτὸν τρόπον ἐκείνοις ἱππεύειν, οὐκ ἄξιον ἱππαρχίας.

ιδʹ. Ὅταν γε μὴν ἐν τῷ ἐπικρότῳ ἐν Ἀκαδημίᾳ ἱππεύειν δέῃ, ἔχω τάδε παραινέσαι. εἰς μὲν τὸ μὴ ἀποκρούεσθαί ποτε τῶν ἵππων, ὑπτίους ἀναπεπτωκότας ἐλαύνειν· εἰς δὲ τὸ μὴ πίπτειν τοὺς ἵππους, ὑπολαμβάνειν ἐν ταῖς ἀναστροφαῖς. τὰ μέντοι ὀρθὰ ταχὺ ἐλαύνειν δεῖ. οὕτω γὰρ τὸ ἀσφαλὲς καὶ τὸ καλὸν θεάσεται ἡ βουλή.

ΚΕΦ. δʹ.

ΕΝ γε μὴν ταῖς πορείαις ἀεὶ δεῖ τὸν ἵππαρχον προνοεῖν, ὅπως ἀναπαύῃ μὲν τῶν ἵππων τὰς ἕδρας,

ἀναπαύῃ

tubæ clangorem celerrime provehi contra se mutuo debent; & ubi perequitaverint, fine jam ludis imponendo, in phalange cuncti constituti, qui vobis mos est, ad consilium equis advehantur.

13. Horum speciem magis existimo bellicosam, magisque novam visum iri. Minime vero dignum munere magistri equitum, ut ipse tardius tribunis invehatur, & eodem modo cum ipsis equitet.

14. Quum autem in Academia, loco pavito, instituendæ erunt equitationes; hæc quæ moneam, habeo. Ne ipsi dejiciantur aliquando ex equis, resupinare se inter agitandum debent: ut equi non cadant, in reflexionibus inhibendi & retinendi sunt. In cursu recto celeriter eos agi oportet. Ita consilium & tutam & pulchram agitationem inspiciet.

CAP. IV.

IN itineribus vero prospicere semper debet equitum magister, ut & equorum sedilibus in dorso quiete consulat, & equites

ἀναπαύῃ δὲ τοὺς ἱππέας τοῦ βαδίζειν, μέτριον μὲν ὀχοῦντα, μέτριον δὲ πεζοποροῦντα. τοῦ δὲ μετρίου * περινοῶν οὐκ ἂν ἁμαρτάνοις. αὐτὸς γὰρ μέτρον ἕκαστος, τοῦ μὴ λαθεῖν ὑπερπονοῦντας.

β'. Ὅταν μέντοι ἀδήλου ὄντος, εἰ πολεμίοις ἐντεύξῃ, πορεύῃ που, κατὰ μέρος χρὴ τὰς φυλὰς ἀναπαύειν. χαλεπὸν γὰρ, εἰ πᾶσι καταβεβηκόσι πλησιάσειαν οἱ πολέμιοι.

γ'. Καὶ ἢν μέν γε διὰ στενῶν ὁδῶν ἐλαύνῃς, ἀπὸ παραγγέλσεως εἰς κέρας ἡγητέον· ἢν δὲ πλατείαις ἐπιτυγχάνῃς ὁδοῖς, ἀπὸ παραγγέλσεως αὖ πλατιωτέον τῆς φυλῆς ἑκάστης τὸ μέτωπον· ὅταν γε μὴν εἰς πεδίον ἀφίκησθε, * ἐπὶ φάλαγγος ...... πάσας τὰς φυλάς. ἀγαθὸν γὰρ καὶ μελέτης ἕνεκα ταῦτα ποιεῖν, καὶ τοῦτο ἥδιον, διαπεράναι τὰς ὁδοὺς, ποικίλλοντας ἱππικαῖς τάξεσι τὰς πορείας.

δ'. Ὅταν μέντοι ἔξω τῶν ὁδῶν διὰ δυσχωριῶν ἐλαύνητε, μάλα χρήσιμον καὶ ἐν πολεμίᾳ, καὶ ἐν φιλίᾳ, προελαύνειν

τῶν

tes pedibus incedentes reficiat: quod equitatione mediocri, & pedestri incessu mediocri fiet. Quod si curæ tibi mediocritas erit, haud aberrabis. Nam quisque sibi modum statuit, ne imprudentes nimio labore graventur.

2. Quum iter facis, & obscurum est an hostibus sis occursurus, per vices quiete tribus reficiendæ. Periculosum enim fuerit, tunc adventare propius hostes, ubi ex equis omnes descenderint.

3. Quod si per angustias vias tibi transeundum sit, ita duces, ut aciem in cornu protendi jubeas: sin latas in vias incidas, rursum jubebis tribus uniuscujusque frontem dilatari: ubi denique perveneritis in planiciem, tribus omnes in phalangem constituendæ. Hæc enim & exercitii caussa facere bonum est, atque etiam jucundius, sic itinera conficere; ut profectiones ordinum equestrium varietate condiantur.

4. Quum extra vias per loca difficilia provehimini, perquam utile fuerit, tam in hostili quam pacata regione, quosdam ex adparitoribus

cujusque

τῶν φυλῆς ἑκάστης τῶν ὑπηρετῶν, οἵτινες, ἢν ἀπόροις νάπαις ἐντυγχάνωσιν, παριόντες ἐπὶ τὰ εὔπορα δηλώσουσι τοῖς ἱππεῦσιν, ᾗ χρὴ τὴν ἐλασίαν ποιεῖσθαι, ὡς μὴ ὅλαι αἱ τάξεις πλανῶνται.

ε'. Ἢν δὲ ἐπικινδύνως ἐλαύνητέ που, φρονίμου ἱππάρχου τὸ τῶν προόδων ἄλλους προόδους διερευνωμένους προηγεῖσθαι τὰ τῶν πολεμίων. χρήσιμον δὲ καὶ πρὸς τὸ ἐπιθέσθαι, καὶ πρὸς τὸ φυλάξασθαι, καὶ τὸ ἀναμένειν ἐπὶ ταῖς διαβάσεσιν, ὡς μὴ κατακόπτωσι τοὺς ἵππους οἱ τελευταῖοι, τὸν ἡγεμόνα διώκοντες. ἴσασι μὲν οὖν ταῦτα σχεδὸν πάντες, καρτερεῖν δ' ἐπιμελόμενοι οὐ πολλοὶ ἐθέλουσι.

ς'. Προσήκει δὲ ἱππάρχῳ ἔτι ἐν εἰρήνῃ ἐπιμεμελῆσθαι, ὅπως ἐμπείρως ἕξει τῆς τε πολεμίας καὶ τῆς φιλίας χώρας. ἢν δ' ἄρα αὐτὸς ἀπείρως ἔχῃ, τῶν ἄλλων γε δεῖ τοὺς ἐπιστημονεστάτους ἑκάστων τόπων παραλαμβάνειν. πάνυ γὰρ διαφέρει ὁ ἡγούμενος εἰδὼς τὰς ὁδούς, τοῦ μὴ εἰδότος, καὶ ἐπιβουλεύων δὲ πολεμίοις, ὁ εἰδὼς

cujusque tribus antecedere; qui si forte in saltus invios inciderint, ad pervia transeuntes, equitibus indicent, qua equi agendi sint, ne toti ordines oberrent.

5. Si periculosum alicubi sit iter, prudentis erit equitum magistri curare ut ante præmissos etiam præmissi quidam alii præcedant, qui res hostium perquirendo explorent. Etiam utile tam ad invadendum quam ad cavendum, ut ubi difficiles sunt transitus, alteri alteros exspectent: ne postremi, dum itineris ducem insequuntur, verberibus equos concidant. Ac norunt quidem propemodum hæc omnes, sed pauci curæ laborem tolerare volunt.

6. Oportet item equitum magistrum adhuc tempore pacis in hoc incumbere, ut peritus sit tam hostilis quam suorum regionis: ac si nullam earum notitiam ipse habeat, ex aliis sibi singulorum locorum maxime gnaros adjungat. Magnum enim discrimen est inter ducem peritum viarum, & imperitum: ut etiam is qui hostibus insidias

δὼς τοὺς τόπους, τοῦ μὴ εἰδότος πολὺ διαφέρει.

ζʹ. Καὶ κατασκόπων δέ, πρὶν πόλεμον εἶναι, δεῖ μεμελετηκέναι, ὅπως ἔσονται καὶ ἐκ πόλεων ἀμφοτέροις φιλίων, καὶ ἐξ ἐμπόρων. πᾶσαι γὰρ αἱ πόλεις τοὺς εἰσάγοντάς τι ἀεὶ ὡς εὐμενεῖς δέχονται. καὶ ψευδαυτόμολοι δ' ἔστιν ὅτε χρήσιμοι.

ηʹ. Οὐ μέντοι τοῖς γε κατασκόποις δεῖ ποτε πιστεύοντα φυλακῆς ἀμελεῖν, ἀλλ' ἀεὶ οὕτως κατεσκευάσθαι χρή, ὥσπερ ἂν ἥξοντες εἰσηγγελμένοι ὦσιν οἱ πολέμιοι. καὶ γὰρ ἂν πάνυ πιστοὶ ὦσιν οἱ κατάσκοποι, χαλεπὸν ἐν καιρῷ ἀπαγγέλλειν. πολλὰ γὰρ ἐν πολέμῳ τὰ ἐμπόδια συμπίπτει.

θʹ. Τάς γε μὴν ἐξαγωγὰς τοῦ ἱππικοῦ ἧττον ἂν οἱ πολέμιοι αἰσθάνοιντο, εἰ ἀπὸ παραγγέλσεως γίγνοιντο μᾶλλον, ἢ εἰ ἀπὸ κήρυκος ἢ ἀπὸ προγραφῆς. ἀγαθὸν οὖν καὶ πρὸς τὸ διὰ παραγγέλσεως ἐξάγειν, τὸ δεκαδάρχους καθιστάναι, καὶ τοῖς τε δεκαδάρχοις πεμπαδάρχους, ἵν' ὡς ἐλαχίστοις ἕκαστος παραγγέλλῃ, καὶ τὸ μέτωπον δὲ ὅπως μη-

ſidias ſtruit, locorum peritus, multum ab imperito differt.

7. Curæ ſint & exploratores ante bellum ſuſceptum, ut haberi poſſint & ex civitatibus utriſque amicis, & ex mercatoribus. Omnes enim civitates admittere ſemper eos, ut benevolos, ſolent, qui aliquid important. Utiles ſunt nonnunquam & ficti transfugæ.

8. Nec tamen ſic exploratoribus fidendum, ut omittatur cautio; ſed ita paratum ſemper eſſe oportet, quaſi ſi jam nuntiatum ſit, hoſtes adventare. Licet enim valde fideles ſint exploratores, in eo tamen difficultas eſt, ut aliquid in tempore nuncient. Quum multa in bello accidere impedimenta ſoleant.

9. Eductiones equitatus minus hoſtes ſentient, ſi potius eæ denuntientur, quam ſi præconis voce, vel per edictum imperentur. Ad hoc igitur, ut eductiones denuntiando fiant, bonum erit conſtituere decuriones, & cum decurionibus quinionum quoque duces: tum ut pauciſſimis unuſquiſque denuntiet, tum etiam ut duces

κιύοιεν ἂν τῆς τάξεως ἀταράκτως, οἱ πεμπάδαρχοι παρά-γοντες, ὁπότε τούτου καιρὸς εἴη.

ι'. Ὅταν γε μὴν προφυλάττειν δέῃ, ἐγὼ μὲν ἀεὶ ἐπαινῶ τὰς κρυπτὰς σκοπιάς τε καὶ φυλακάς· οὕτω γὰρ ἅμα μὲν τῶν φίλων φυλακαὶ γίγνονται, ἅμα δὲ τοῖς πολεμίοις ἐνέδραι κατασκευάζονται.

ια'. Καὶ αὐτοὶ μὲν δυσεπιβουλευτότεροί εἰσιν ἀφανεῖς ὄντες, τοῖς δὲ πολεμίοις φοβερώτεροι. τὸ γὰρ εἰδέναι μὲν, ὅτι εἰσί που φυλακαὶ, ὅπου δ' εἰσὶ, καὶ ὁπόσαι, μὴ εἰδέναι, τοῦτο θαῤῥεῖν μὲν κωλύει τοὺς πολεμίους, ὑποπτεύειν δὲ ἀναγκάζει πάντα τὰ χωρία. αἱ δὲ φανεραὶ φυλακαὶ δῆλα ἔχουσι καὶ τὰ δεινὰ καὶ τὰ εὐθαρσῆ.

ιβ'. Ἔτι δὲ τῷ μὲν κρυπτὰς ἔχοντι φυλακὰς ἐξέσται μὲν φανεροῖς ὀλίγοις ἔμπροσθεν τῶν κρυπτῶν φυλάττοντα, πειρᾶσθαι τοὺς πολεμίους εἰς ἐνέδρας ὑπάγειν· ἀγρευτικὸν δὲ, καὶ ὄπισθεν τῶν κρυπτῶν ἄλλοις φανερῶς ἔστιν ὅτε φυλάττειν. καὶ τοῦτο γὰρ ἐξαπατη-

τικὸν

ces hi quinionum suo tempore procedentes, absque perturbatione frontem aciei exporrigant.

10. Ubi præcavendum est, equidem occultas semper & speculationes & excubias laudo. Sic enim & excubiæ simul pro amicis habentur, & hostibus simul insidiæ struuntur.

11. Minus etiam speculatores ipsi, quum nihil de eis constat, insidiis hostium expositi sunt; & hostibus hoc modo sunt formidabiliores. Nam scire, quasdam esse collocatas alicubi excubias; sed ubi sint, & quo numero, nescire: id vero fidentibus hostes animis esse prohibet, & habere suspecta cogit omnia loca. Manifestæ vero excubiæ tam periculorum quam fiduciæ caussas apertas habent.

12. Præterea licebit occultas habenti excubias, ut cum paucis manifestis ante illos occultos excubans, hostes in insidias pertrahere conetur: nec idoneum minus venandis hostibus, etiam post occultos cum aliis manifestis nonnunquam excubare. Nam hac quoque ratione non aliter

circum-

πικὸν τῶν πολεμίων ὁμοίως τῷ πρόσθεν εἰρημένῳ.

ιγ'. Ἀλλὰ μὴν φρονίμου γε ἄρχοντος καὶ τὸ μήποτε κινδυνεύειν ἑκόντα, πλὴν ὅπου ἂν πρόδηλον ᾖ, ὅτι πλεῖον ἕξει τῶν πολεμίων. τὸ δὲ ὑπηρετεῖν τὰ ἥδιστα τοῖς πολεμίοις, προδοσία τῶν ξυμμάχων δικαίως ἂν μᾶλλον, ἢ ἀνδρεία κρίνοιτο.

ιδ'. Σῶφρον δὲ καὶ τὸ ἐκεῖσε ὁρμᾶν, ὅπου ἂν ἀσθενῆ τὰ τῶν πολεμίων ᾖ, κἂν πρόσω ὄντα τυγχάνῃ. τὸ γὰρ σφόδρα πονῆσαι ἀκινδυνώτερον, ἢ πρὸς τοὺς κρείττους ἀγωνίζεσθαι.

ιε'. Ἢν δέ ποι εἰς μέσον φιλίων τειχέων εἰσίωσιν οἱ πολέμιοι, κἂν πολὺ κρείττους ὄντες, καλὸν μὲν ἐντεῦθεν ἐπιχειρεῖν, ὁποτέρωθι ἂν λελήθῃς παρών· καλὸν δὲ καὶ ἅμα ἀμφοτέρωθεν. ὅταν γὰρ οἱ ἕτεροι ἀποχωρῶσιν, οἱ ἐκ τοῦ ἐπὶ θάτερα ἐλαύνοντες ταράττοιεν μὲν ἂν τοὺς πολεμίους, σώζοιεν δ' ἂν τοὺς φιλίους.

ιϛ'. Καὶ τὸ μὲν διὰ κατασκόπων πειρᾶσθαι εἰδέναι τὰ

circumveniuntur hostes, ac prius indicata.

13. Prudentis etiam ducis est, in periculum ultro se non conjicere; nisi quum manifestum est, potiorem ipsius quam hostium, conditionem futurã. At hostibus suppeditare caussam voluptatis maximæ, multo justius esse proditio sociorum, quã fortitudo, judicabitur.

14. Prudens id quoque facinus, illuc progredi, ubi vires hostium debiles sunt, licet intervallo magno distent. Nam minus est in vehementi labore periculi, quam si proelio cum potioribus decertandum sit.

15. Quod si medias inter munitiones & castella tuorum penetraverint hostes, licet longe viribus superiores sint; pulchrum tamen eos hinc adgredi, quacumque tandem à parte clam hostibus adsis; nec minus honestum, id simul ab utraq; parte fieri. Quum enim alii se recipient, adequitantes ab alterutro latere tui, tum perturbabunt hostes, tum saluti suorum consulent.

16. Dictum jampridem, bonum esse,

τὰ τῶν πολεμίων, πάλαι εἴρηται ὡς ἀγαθὸν ἐστίν. ἐγὼ δὲ πάντων ἄριστον νομίζω εἶναι, τὸ αὐτὸν πειρᾶσθαι, ἐὰν ᾖ ποθὲν ἐξ ἀσφαλοῦς θεώμενον τοὺς πολεμίους ἀθρεῖν, ἤν τι ἁμαρτάνωσι.

ιζ'. Καὶ τὸ μὲν κλαπῆναι δυνατὸν πέμπειν χρὴ τοὺς ἐπιτηδείους κλέψοντας, τὸ δὲ ἁρπασθῆναι ἔχωρουν, ἐφιέναι τοὺς ἁρπάζοντας. ἢν δὲ πορευομένων που τῶν πολεμίων ἀπαρτᾶταί τι ἀσθενέστερον τῆς αὐτοῦ δυνάμεως, ἢ θαῤῥοῦν ἀποσκεδάννυνται, οὐδὲ ταῦτα χρὴ λανθάνειν· ἀεὶ μέντοι ἰσχυροτέρῳ τὸ ἀσθενέστερον θηρᾶν.

ιη'. Δυνατὸν δὲ προσέχοντι τὸν νοῦν ταῦτα καταμανθάνειν, ἐπεὶ καὶ βραχυγνωμονέστερα ἀνθρώπου θηρία, οἵ τε ἴκτινοι δύνανται ὃ ἂν ἀφύλακτον ᾖ, ἀφαρπάσαντες εἰς τὸ ἀσφαλὲς ἀποχωρεῖν, πρὶν ληφθῆναι· καὶ οἱ λύκοι δὲ τά τε ἐρημούμενα φυλακῆς ἀγρεύουσι, καὶ τὰ ἐν τοῖς δυσορατοῖς κλέπτουσι.

ιθ'. Κἂν μεταθέων γέ τις ἐπιγίγνηται κύων, ἢν μὲν ἥττων

esse, dari operam ut res hostium per exploratores cognoscantur. Ego vero esse omnium optimum existimo, ut aliquis ipse, si de tuto quopiam loco liceat hostes alicunde contemplari, num in aliquo peccent, inspicere conetur.

17. Ac siquidem aliquid eis furtim adimi poterit, ad hoc furtim peragendum idonei quidam mittendi: quod autem rapinæ expositum, mittendi qui rapiant. Si hostibus aliquo proficiscentibus, pars quædam copiarum hostilium debilior à tergo maneat, quam ipse sit, aut sumta fiducia palari ausit: ne hoc quidem ignorare debet, sic tamen, ut manu validiore venetur id quod est debilius.

18. Potest autem hæc animadvertere, qui mentem eis adhibet; quandoquidem & bestiæ, quibus intelligentia minor est, quam homini, puta milvii, si quid incustoditum sit, rapere norunt, & prius in tuta se recipere, quam capiantur: & lupi, quæ custodia destituuntur, venari solent, & in obscuris abdita furantur.

19. Idem lupus, si canis insequens

ἥττων ᾖ, τούτῳ ἐπιτίθεται· ἢν δὲ κρείττων, ἀποσφάξας ὅ, τι ἂν ἔχῃ, ἀποχωρεῖ. ὅταν δέ γε φυλακῆς καταφρονήσωσι λύκοι, τάξαντες ἑαυτῶν τοὺς μὲν ἀπελαύνειν τὴν φυλακὴν, τοὺς δὲ ἁρπάζειν, οὕτω τὰ ἐπιτήδεια πορίζονται.

κ'. Θηρίων γε μὴν δυναμένων τὰ τοιαῦτα φρονίμως λῄζεσθαι, πῶς οὐκ ἄνθρωπόν γε ὄντα εἰκὸς σοφώτερον τούτων φαίνεσθαι, ἃ καὶ αὐτὰ τέχνῃ ὑπ' ἀνθρώπου ἁλίσκεται;

ΚΕΦ. έ.

Κἀκεῖνό γε μὴν εἰδέναι ἱππικοῦ ἀνδρὸς, ἐκ πόσου ἂν ἵππος πεζὸν ἕλοι, καὶ ἐξ ὁπόσου βραδεῖς ἂν ἵπποι ταχεῖς ἀποφύγοιεν. ἱππαρχικὸν δὲ καὶ χωρία γιγνώσκειν, ἔνθα πεζοὶ κρείττους ἱππέων, καὶ ἔνθα πεζῶν κρείττους ἱππεῖς.

β'. Χρὴ δὲ μηχανητικὸν εἶναι καὶ τοῦ τοὺς πολλοὺς μὲν φαίνεσθαι τοὺς ὀλίγους ἱππέας, πάλιν δ' ὀλίγους τοὺς πολλούς· καὶ

τοῦ

quens ſuperveniat, viribus inferiorem adgreditur: ſin ille ſuperior ſit, jugulatis iis quæ nanctus eſt, diſcedit. Ubi vero lupi cuſtodiam contemnere auſi fuerint, ordinatis ſuis partim ad abigendos cuſtodes, partim ad rapiendum, ita neceſſaria ſibi adquirunt.

20. Quum igitur beſtiæ prudenter in agendis hiſce prædis ſe gerant, quomodo non par fuerit, eum qui homo ſit, ſapientiorem ſe declarare beſtiis, quæ ipſæ capi arte ab homine ſolent?

CAP. V.

Hoc quoque ſcire vir equeſtris debet, quonam ex intervallo peditem ceperit eques, & quantum ad intervallum equi tardi celeres effugerint. Itidem ad equitum magiſtri munus pertinet ſcire loca, quibus in locis pedites equitibus ſuperiores ſint, ac viciſſim peditibus equites.

2. Etiam ſollerti artificio moliri debet, ut pauci equites, multi eſſe videantur; & multi viciſſim, paucorum ſpeciem habeant: itemque

τὸ δοκεῖν παρόντα μὲν ἀπεῖναι, ἀπόντα δὲ παρεῖναι· καὶ τὸ μὴ τὰ τῶν πολεμίων μόνον κλέπτειν ἐπίστασθαι, ἀλλὰ καὶ τοὺς ἑαυτοῦ ἱππέας ἅμα κλέπτοντα ἐξ ἀπροσδοκήτου τοῖς πολεμίοις ἐπιτίθεσθαι.

γʹ. Ἀγαθὸν δὲ μηχάνημα καὶ τὸ δύνασθαι, ὅταν μὲν τὰ ἑαυτοῦ ἀσθενῶς ἔχῃ, φόβον παρασκευάζειν τοῖς πολεμίοις, ὡς μὴ ἐπιθῶνται· ὅταν δ' ἐρρωμένα, θάρσος αὐτοῖς ἐμποιεῖν, ὡς ἐγχειρῶσιν. οὕτω γὰρ αὐτὸς μὲν ἂν ἥκιστα κακῶς πάσχοις, τοὺς δὲ πολεμίους μάλιστ' ἂν ἁμαρτάνοντας λαμβάνοις. ὅπως δὲ μὴ προστάττειν δοκῶ ἀδύνατα, γράψω καὶ ὡς ἂν γίγνοιτο τὰ δοκοῦντα αὐτῶν χαλεπώτατα εἶναι.

δʹ. Τὸ μὲν τοίνυν μὴ σφάλλεσθαι ἐγχειροῦντα διώκειν ἢ ἀποχωρεῖν, ἐμπειρία ποιεῖ ἵππων δυνάμεως. πῶς δ' ἂν ἐμπείρως ἔχοι; εἰ προσέχοι τὸν νοῦν ἐν ταῖς μετὰ φιλίας ἀνθιππασίαις, οἷα ἀποβαίνουσιν ἐκ τῶν διώξεών τε καὶ φυγῶν.

εʹ. Ὅταν μέντοι βούλῃ τοὺς ἱππέας πολλοὺς φαίνεσθαι, ἐν

itemque si præsens sit, ut abesse videatur; si absit, adesse: neque tantum ut norit hostibus sua furtim præripere, verum equites etiam suos furtim circumveniendo, adoriri hostes de improviso.

3. Egregium & hoc artificium, si possit, quum ipse viribus inferior est, metum hostibus incutere, ne se adoriantur: quum potior ipse viribus, eorundem animis indere fiduciam, ut adgrediantur. Sic enim & ipse minimum detrimenti acceperis, & inprimis hostes in errore deprehendere possis. Ne vero, quæ fieri nequeant, præcipere videar: prodam sane litteris, quomodo & illa fiant, quæ in his difficillima videntur.

4. Itaque ne quis in conatu vel insequendi, vel abscedendi, offendat; ex eo consequetur, si vires equorum perspectas habeat. Quonam vero modo perspectas habere possit? Si animum adtendat in adversis provectionibus, quæ cum benevolentia fiunt; quales & è persequendo, & fugiendo discedant.

5. Quum vero volueris equites multorum habere speciem, unum

ἓν μὲν πρῶτον ὑπαρχέτω, ἐὰν πῃ ἐγχωρῇ, μὴ ἐγγὺς τῶν πολεμίων ἐγχειρεῖν ἐξαπατᾶν. καὶ γὰρ ἀσφαλέστερον τὸ πρόσω, καὶ ἀπατητικώτερον. ἔπειτα δὲ χρὴ εἰδέναι, ὅτι ἀθρόοι μὲν ἵπποι πολλοὶ φαίνονται, διὰ τὸ μέγεθος τοῦ ζώου· διασπειρόμενοι δ' εὐαρίθμητοι γίνονται.

ϛʹ. Ἔτι δ' ἂν πλεῖον σοι τὸ ἱππικὸν τοῦ ὄντος φαίνοιτο, εἰ τοὺς ἱπποκόμους εἰς τοὺς ἱππέας ἐνισταίης, μάλιστα μὲν δόρατα, εἰ δὲ μή, ὅμοια δόρασιν ἔχοντας, ἐάν τε ἑστηκὸς ἐπιδεικνύῃς τὸ ἱππικόν, ἐάν τε παράγῃς. ἀνάγκη γὰρ τὸν ὄγκον τῆς τάξεως οὕτω μείζω τε καὶ πυκνότερον φαίνεσθαι.

ζʹ. Ἢν δ' αὖ τοὺς πολλοὺς ὀλίγους δοκεῖν εἶναι, ἐὰν μὲν σοι χωρία ὑπάρχῃ οἷα συγκρύπτειν, δηλονότι τοὺς μὲν ἐν τῷ φανερῷ ἔχων, τοὺς δ' εἰς τὸ ἄδηλον ἀποκρύπτων, κλέπτοις ἂν τοὺς ἱππέας· ἐὰν δὲ πᾶν καταφανὲς ᾖ τὸ χωρίον, δεκάδας χρὴ στοιχούσας ποιήσαντα, διαλειπούσας παράγειν· καὶ τοὺς μὲν πρὸς τῶν πολεμίων ἱππέας ἑκά-

στης

unum hoc primum esto, si liceat, ne prope hostes fraudem aliquam moliaris. Tutius enim quod è longinquo fit, & ad fraudem aptius. Deinde sciendum, equos catervatim incedentes, speciem multorum habere, propter ipsius animalis magnitudinem: quum dispersi, facile numerari possint.

6. Præterea tibi copiosior equitatus adesse videbitur, quam sit reabse, si curatores equorum inter equites constituas, præsertim hastas, aut hastis aliquid simile tenentes; sive consistentem alicubi equitatum exhibeas, seu traducas. Nam hoc modo necesse est aciei molem & majorem & spissiorem videri.

7. Sin multos velis haberi pro paucis, siquidem ejusmodi loca tibi sint ad manum, in quibus occultare liceat; nimirum in aperto quosdam exhibens, in obscuro quosdam abdens, hac subtractione numerum equitum deminues: si vero locus ipse totus oculis expositus sit, ordinatas in unam seriem decurias ex intervallo traduces; & equites quidem cujusque decuriæ,

qui

ςης δεκάδος ὀρθὰ τὰ δόρατα ἔχειν· τοὺς δ᾽ ἄλλους, ταπεινὰ καὶ μὴ ὑπερφανῆ.

η΄. Φοβεῖν γε μὴν τοὺς πολεμίους, καὶ ψευδενέδρας οἷόν τε, καὶ ψευδοβοηθείας, καὶ ψευδαγγελίας ποιοῦντα. θαρσοῦσι δὲ μάλιστα πολέμιοι, ὅταν τοῖς ἐναντίοις πράγματα καὶ ἀσχολίας πυνθάνωνται.

θ΄. Τούτων δὲ γεγραμμένων, μηχανᾶσθαι αὐτὸν χρὴ πρὸς τὸ παρὸν ἀεὶ ἀπατᾷν. ὄντως γὰρ οὐδὲν κερδαλεώτερον ἐν πολέμῳ ἀπάτης.

ι΄. Ὁπότε γε καὶ οἱ παῖδες, ὅταν παίζωσι, ποιοῦσιν ἃ δύνανται ἀπατᾷν προΐσχοντες, ὥστε ὀλίγους γ᾽ ἔχοντας, πολλοὺς δοκεῖν ἔχειν· καὶ πολλοὺς προέχοντες, ὀλίγους φαίνεσθαι ἔχειν· πῶς οὐκ ἄνδρες γε τῷ ἐξαπατᾷν προσέχοντες τὸν νοῦν, δύναιντ᾽ ἂν τοιαῦτα μηχανᾶσθαι;

ια΄. Καὶ ἐνθυμούμενος δ᾽ ἂν τὰ ἐν τοῖς πολέμοις πλεονεκτήματα, εὕροι ἄν τις τὰ πλεῖστα καὶ μέγιστα σὺν ἀπάτῃ γεγενημένα. ὧν ἕνεκα ἢ οὐκ ἐγχειρητέον

qui hostibus ante oculos sunt, hastas tenere rectas debent; cæteri depressas, & minime supereminentes.

8. Licet etiam terrorem hostibus incutere, tum fictas insidias, tum auxilia ficta, fictosque rumores excogitando. Tum vero confidentissimi sunt hostes, quum adversariis multa negotia, multas occupationes exhiberi audiunt.

9. His ita descriptis, ipsius jam ducis fuerit id moliri, ut pro re præsenti semper aliquam fallaciam struat. Nam revera nihil adeo fructuosum in bello, atque fallacia.

10. Quum vero etiam pueri, quoties ludunt, prætextu fallendi faciant, quæcumque possunt, ut paucos habentes, multos habere videatur; & multos habere se præferentes, speciem paucorum exhibeant: quid vetet quominus etiam viri, si fraudibus animum adjiciant, hujusmodi artificiis uti possint?

11. Nam si cum animo suo meliores in bello conditiones aliquis expendat, is majorem earum partẽ, & quidẽ insigniores fraude captatas & partas inveniet. Quapropter vel

τέον ἄρχειν, ἢ τοῦτο σὺν τῇ ἄλλῃ παρασκευῇ καὶ παρὰ θεῶν αἰτητέον δύνασθαι ποιεῖν, καὶ αὐτῷ μηχανητέον.

ιβ'. Οἷς δὲ θάλαττα πρόσεστιν, ἀπατητικὸν καὶ τὸ, πλοῖα παρασκευαζόμενον πεζῇ τι πρᾶξαι, καὶ τὸ πεζῇ προσποιούμενον ἐπιβουλεύειν, κατὰ θάλατταν ἐπιχειρῆσαι.

ιγ'. Ἱππαρχικὸν δὲ καὶ τὸ διδάσκειν τὴν πόλιν, ὡς ἀσθενὲς τὸ, πεζῶν ἔρημον ἱππικὸν, πρὸς τὸ ἅμ' ἵπποις πεζοὺς ἔχειν. ἱππαρχικὸν δὲ καὶ τὸ λαβόντα πεζοὺς, αὐτοῖς χρῆσθαι. ἔστι δὲ πεζοὺς οὐ μόνον ἐν τούτοις, ἀλλὰ καὶ ὄπισθεν ἵππων ἀποκρύψασθαι. πολὺ γὰρ μείζων ὁ ἱππεὺς τοῦ πεζοῦ.

ιδ'. Ταῦτα δὲ πάντα ἐγὼ, καὶ ὅσα πρὸς τούτοις τὶς μηχανήσεται, ἢ βίᾳ ἢ τέχνῃ αἱρεῖν τοὺς ἐναντίους βουλόμενος, σὺν τῷ θεῷ πράττειν συμβουλεύω, ἵνα καὶ τὴν τύχην συνεπαινῇ θεῶν ἵλεων ὄντων.

ιε'. Ἔστι δὲ ὅτε πάνυ ἀπατητικὸν καὶ τὸ λίαν φυλακτι-

κὸν

vel non capessendum imperium, vel, ut hoc quoque præstare possit, divinitus præter alia petendum, & ipsimet in hoc adnitendum.

12. Qui mare vicinum habent, iis ad fraudem hoc quoque commodum, ut dum naves instruunt, aliquid terra gerant: ac vicissim, dum terra insidias se moliri simulant, mari rem adgrediantur.

13. Etiam hoc equitum magistri est, docere civitatem, quam debile quiddam sit equitatus à peditatu destitutus; ut una cum equis & pedites habeat. Nec minus ad officium magistri equitum pertinet, ut peditibus acceptis uti possit. Ac licet pedites non tantum inter equos, sed etiam post equos occultare. Nam longe grandior est eques homine pedestri.

14. Hæc vero equidem universa, & si qua moliri aliquis præterea volet, in conatu hostis aut vi aut arte superandi, divina cum ope suscipienda consulo; ut numine sibi placato ac propitio, fortunam quoque prosperam prædicare possit.

15. Nonnunquam & illud aptissimum ad fraudem, si nimis se

cautum

κὸν προσποιήσασθαι δεῖ, καὶ μηδαμῶς φιλοκίνδυνον. τοῦτο γὰρ τοὺς πολεμίους πολλάκις προάγεται ἀφυλακτοῦντας μᾶλλον ἁμαρτάνειν. ἢν δὲ ἅπαξ δόξῃ τις φιλοκίνδυνος εἶναι, ἔξεστι καὶ ἡσυχίαν ἔχοντα, προσποιούμενον δὲ πράξειν τι, πράγματα τοῖς πολεμίοις παρέχειν.

ΚΕΦ. ϛ΄.

ΑΛΛΑ γὰρ οὐδὲν ἄν τις δύναιτο πλάσαι, ὅπως βούλεται, εἰ μὴ ἐξ ὧν γε πλάττοιτο, παρεσκευασμένα εἴη, ὡς πείθεσθαι τῇ τοῦ χειροτέχνου γνώμῃ. οὐδὲ γὰρ ἂν ἐξ ἀνδρῶν, εἰ μὴ σὺν θεῷ, οὕτω παρεσκευασμένοι ἔσονται, ὡς φιλικῶς τε ἔχειν πρὸς τὸν ἄρχοντα, καὶ φρονιμώτερον σφῶν αὐτὸν ἡγεῖσθαι περὶ τῶν πρὸς τοὺς πολεμίους ἀγώνων.

β΄. Εὐνοϊκῶς μὲν οὖν ἔχειν καὶ ἐκ τῶνδε εἰκὸς τοὺς ἀρχομένους, ὅταν φιλοφρόνως τις ἔχῃ πρὸς αὐτούς, καὶ προνοῶν φαίνηται,

cautum quiſpiam ſimulet, aleæque belli tentandæ nequaquam cupidum. Hoc enim hoſtes eo ſæpius adigit, ut omiſſo cavendi & excubandi ſtudio, magis delinquant. Si quis ſemel viſus fuerit adeundi periculi cupidus eſſe, poteſt hoſtibus, etiam quieſcendo, dum aliquid ſe facturum ſimulat, negotia faceſſere.

CAP. VI.

SED enim ex animi ſui arbitrio nihil formare quiſpiam poſſit, ſi non ea de quibus aliquid fingendum ita comparata ſint, ut artificis voluntati cedant. Nec enim ex hominibus ſic aliqui unquam inſtructi erunt, ut amore proſequantur illum qui eis cum imperio præeſt, utque eum ſe prudentiorem judicent in iis quæ ad certamina cum hoſtibus ineunda pertinent, niſi Deo volente.

2. Hinc quoque conciliari benevolentiam illorum, qui reguntur, conſentaneum eſt; ſi comiter aliquis eos complectatur, ac

L 2 proſpicere

φαίνηται, ὅπως τε σῖτον ἕξουσι, καὶ ὅπως ἀσφαλῶς μὲν ἀποχωρήσουσι, πεφυλαγμένως δὲ ἀναπαύσονται.

γ'. Ἐν δὲ ταῖς φρουραῖς χρὴ καὶ χιλοῦ, καὶ σκηνῶν, καὶ ὑδάτων, καὶ φυλακῶν, καὶ τῶν ἄλλων ἐπιτηδείων φανερὸν εἶναι ἐπιμελούμενον, καὶ προνοοῦντά γε, καὶ ἀγρυπνοῦντα ἕνεκα τῶν ἀρχομένων.

δ'. Καὶ ὅταν γε πλέον ἔχῃ τι, τὸ μεταδοῦναι κερδαλέον τῷ προεστηκότι. ἥκιστα δ' ἂν καταφρονοῖεν ἄρχοντος, ὡς μὲν συνελόντι εἰπεῖν, εἰ ὁπόσα ἐκείνοις παραινοίη, αὐτὸς ταῦτα βέλτιον ἐκείνων φαίνοιτο ποιῶν.

ε'. Ἀρξάμενον οὖν δεῖ ἀπὸ τοῦ ἀναβαίνειν ἐπὶ τοὺς ἵππους, πάντα τὰ ἐν ἱππικῇ μελετᾷν, ὅπως ὁρῶσι τὸν ἄρχοντα δυνάμενον ἐπὶ τοῦ ἵππου καὶ τάφρους ἀσφαλῶς περᾷν, καὶ τείχη ὑπερακείζειν, καὶ ἀπ' ὄχθων καταίρειν, καὶ ἀκοντίζειν ἱκανῶς. πάντα γὰρ ταῦτα προκόπτει εἰς τὸ μὴ καταφρονεῖσθαι.

ς'. Ἢν δὲ δὴ καὶ πράττειν γνῶσιν ἐπιστάμενόν τε, καὶ δυνά-

prospicere se declaret, ut & victum habeant, & tuto se recipiant, & idonea muniti custodia quiescant.

3. In præsidiis manifesta debet ejus esse cura de pabulo, & tentoriis, & aquis, & excubiis, & aliis rebus necessariis; itemque providentia ipsius, & vigilantia pro iis quos regit.

4. Ubi copia quadam rei alicujus abundat is qui aliis præest, lucrosum erit, id suis impertiri. Minime vero contemnent eum, qui cum imperio est, si quæcumque, ut paucis rem complectar, suos facere jusserit, ea rectius ipsis facere visus fuerit.

5. Quapropter exordiens ab inscendendis equis, exercere omnia debet ad rem equestrem pertinentia: quo præfectum suum posse videant in equo & fossas tuto trajicere, & muros superare, & de tumulis se demittere, & idonee jaculari. Nam hæc omnia nonnihil ad hoc conferunt adjumenti, ne contemtui sit.

6. Jam si rerum gerendarum peritum esse norint, & idoneum ad

δυνάμενον παρασκευάζειν, ὡς ἂν πλέον ἔχοιεν τῶν πολεμίων· πρὸς δὲ τούτοις κἂν ἐκεῖνο λάβωσιν εἰς τὴν γνώμην, ὡς οὔτ' ἂν εἰκῇ, οὔτ' ἄνευ θεῶν, οὔτε παρὰ τὰ ἱερὰ ἡγήσαιτ' ἂν ἐπὶ πολεμίους· πάντα ταῦτα πιθανωτέρους τῷ ἄρχοντι τοὺς ἀρχομένους ποιεῖ.

ΚΕΦ. ζ'.

ΠΑντὶ μὲν οὖν προσήκει ἄρχοντι φρονίμῳ εἶναι· πολὺ μέντοι τὸν Ἀθηναίων ἵππαρχον διαφέρειν δεῖ καὶ τῷ τοὺς θεοὺς θεραπεύειν, καὶ τῷ πολεμικὸν εἶναι, ᾧ γε ὑπάρχουσι μὲν ὅμοροι ἀντίπαλοι ἱππῆς τε παραπλήσιοι τὸ πλῆθος, καὶ ὁπλῖται πολλοί.

β'. Κἂν μὲν εἰς τὴν πολεμίαν ἐμβάλλειν ἐπιχειρῇ ἄνευ τῆς ἄλλης πόλεως, πρὸς ἀμφοτέρους τούτους μόνοις ἂν τοῖς ἱππεῦσι διακινδυνεύοι. ἢν δὲ οἱ πολέμιοι εἰς τὴν Ἀθηναίων χώραν ἐμβάλλωσι, πρῶτον μὲν οὐκ ἂν ἄλλως ἔλθοιεν, εἰ

μὴ

ad efficiendum, ut hostibus ipsi potiore loco sint; & animis præterea impresserint, eum nec temere, nec absque numinis ope, nec extis adversantibus in hostes ducturum: hæc scilicet ejusmodi sunt omnia, magis ut morigeros præfecto reddant illos qui ejus imperio continentur.

CAP. VII.

AC prudentem sane quemvis esse convenit, qui cum imperio sit: at populi Atheniensis equitum magistrum longe aliis præstare tum cultu Deorum immortalium tum usu rei militaris oportet; quum ei finitimi sint adversarii, tam equites numero pares, quam pedites sane multi.

2. Si agrum hostilem sine reliquæ civitatis auxiliis invadere conetur, adversus illos ambos ei solo cum equitatu periclitandum erit: sin hostes in Atheniensium regionem irrumpant, primum aliter non venient, quam

aliis

μὴ σὺν ἄλλοις τε ἱππεῦσι πρὸς τοῖς ἑαυτῶν, καὶ πρὸς τούτοις, ὁπλίταις ὁπόσοις ἂν οἴωνται πάντας Ἀθηναίους μὴ ἱκανοὺς εἶναι μάχεσθαι.

γ'. Πρὸς οὖν τοσούτους πολεμίους ἢν μὲν ἡ πόλις πᾶσα ἐπεξίῃ ἀρήξουσα τῇ χώρᾳ, ἐλπίδες καλαί. ἱππῆς τε γὰρ σὺν θεῷ ἀμείνους, ἤν τις αὐτῶν ἐπιμελῆται ὡς δεῖ, ὁπλῖταί τε ἀμείνους ἔσονται· καὶ τὰ σώματα τοίνυν οὐ χείρω ἔχοντες, καὶ τὰς ψυχὰς φιλοτιμότεροι, ἢν ὀρθῶς ἀσκηθῶσι, σὺν θεῷ. καὶ μὴν ἐπί γε τοῖς προγόνοις οὐ μεῖον Ἀθηναῖοι ἢ Βοιωτοὶ φρονοῦσιν.

δ'. Ην δὲ ἡ μὲν πόλις τρέπηται ἐπὶ τὰ ναυτικά, καὶ ἀρκῇ αὐτῇ τὰ τείχη διασώζειν, ὥσπερ καὶ ὁπότε Λακεδαιμόνιοι σὺν ἅπασι τοῖς Ελλησιν ἐνέβαλλον· τοὺς δὲ ἱππέας ἀξιώσετε τά τε ἐκτὸς τοῦ τείχους διασώζειν, καὶ αὐτοὺς μόνους διακινδυνεύειν, πρὸς πάντας τοὺς ἐναντίους. ἐνταῦθα δὴ θεῶν μὲν, οἶμαι, πρῶτον συμμάχων

aliis ad ſuos equitibus adjunctis, & cum illis præterea peditum copiis, quibus Athenienſes univerſos impares ad pugnam futuros exiſtiment.

3. Itaque ſi contra tantam hoſtium multitudinem civitas tota prodire velit, ut opem regioni ferat; ſpem bonam concipere licebit. Nam & equites Deo juvante meliores, ſi quis eorum curam convenientem gerat, & pedites itidem meliores erunt: quorum quidem nec corpora deteriora ſunt, & animi longe laudis avidiores, ſi Deo propitio recte fuerint exerciti. Majores ſane quod adtinet, non minus Athenienſes eorum nomine quam Bœoti, ſemet efferunt.

4. Si vero civitas ad rem navalem ſe converterit, & mœnia tueri ſatis ſibi duxerit, uti tum quoque factum quum Lacedæmonii Græcis univerſis ſibi adjunctis Atticam invaſerunt; equiteſque ſitis extra muros eſſe ſubſidio voluerit, ac ſolos contra copias adverſariorum omnes periclitari: tum vero primum, mea ſane ſententia, divino erit

χων ἰσχυρῶν δεῖ, ἔπειτα δὲ καὶ τὸν ἵππαρχον προσήκει ἀποτετελεσμένον ἄνδρα εἶναι. καὶ γὰρ φρονήσεως δεῖ πολλῆς πρὸς τοὺς πολὺ πλείους, καὶ τόλμης, ὁπότε καιρὸς παραπέσοι.

ε΄. Δεῖ δὲ, ὡς ἐμοὶ δοκεῖ, καὶ πονεῖν αὐτὸν ἱκανὸν εἶναι. πρὸς μὲν γὰρ τὸ παρὸν στράτευμα διακινδυνεύων, ᾧ μηδὲ ὅλη ἡ πόλις θέλοι ἀντικαθίστασθαι, δηλονότι πάσχοι ἂν ὅ,τι οἱ κρείττους βούλοιντο, ποιεῖν δὲ οὐδὲν ἂν ἱκανὸς εἴη.

ϛ΄. Εἰ δὲ φυλάττει μὲν τὰ ἔξω τείχους τοσούτοις, ὅσοι σκοπεύειν τε τοὺς πολεμίους ἱκανοὶ ἔσονται, καὶ ἀναχωρίζειν εἰς τὸ ἀσφαλὲς τὰ δεόμενα ὡς ἐκ πλείστου, ἱκανοὶ δὲ καὶ προορᾷν οὐδὲν ἧττον οἱ ὀλίγοι τῶν πολλῶν· καὶ φυλάττειν τοίνυν, καὶ ἀναχωρίζειν τὰ φίλια οὐκ ἀχρειότεροι, οἱ μήτε αὐτοῖς, μήτε τοῖς ἵπποις πιστεύοντες. ὁ γὰρ φόβος δεινὸς δοκεῖ συμφύλαξ εἶναι.

ζ΄. Τοὺς μὲν φύλακας ἐκ τούτων ἄν τις ποιῶν, ἴσως

ὀρθῶς

erit opus auxilio firmo, atq; ipſum deinde magiſtrum equitum eſſe virum prorſus abſolutum conveniet. Nam & prudentia magna contra longe plures, & audacia requiritur, quum opportunitas obtulerit.

5. Itidem arbitror eum laboribus perferendis idoneum eſſe debere. Si enim exercitu tali præſente, cui ne tota quidem civitas ſe putet objiciendam, periclitari velit; nimirum feret, quidquid illi viribus ſuperiores faciundum ſtatuerint, nullam ad rem peragendam ſatis ipſe idoneus.

6. At vero ſi extra muros ſita tot equitibus cuſtodiat, quot hoſtium rebus ſpeculandis ſufficient, & iis majore ex parte in tutum ſubducendis, quibus hoc opus eſt; ſique non minus idonei ſunt ad proſpiciendum pauci, quam plures: ſane tum ad cuſtodiendas tum ad ſubducendas amicorum res non minus erunt opportuni qui nec ſeipſis nec equis ſuis ſatis fidunt. Nam metus in cuſtodiendo ſocius acer eſſe videtur.

7. Itaque rectum conſilium capiet, qui de his cuſtodes ac præſidiarios

ὀρθῶς βουλεύοιτο· τοὺς δὲ περιττοὺς τῆς φυλακῆς εἰ μέν τις στρατιὰν ἔχειν ἡγήσεται, ὀλίγη αὐτῷ φανεῖται· τοῦ παντὸς γὰρ ἐνδεήσεται, ὥστε οὐκ ἐκ τοῦ ἐμφανοῦς διακινδυνεύειν.

η'. Ἢν δὲ ὡς λῃσταῖς αὐτοῖς χρῆται, πάνυ ἂν, ὡς τὸ εἰκὸς, ἱκανὴν τοῦτο πράττειν ἔχοι δύναμιν. δεῖ δὲ, ὡς ἐμοὶ δοκεῖ, τοὺς παρεσκευασμένους ἀεὶ ἔχοντα, ὡς ποιεῖν τι, μὴ καταφανῆ ὄντα, φυλάττειν ἤν τι ἁμαρτάνῃ τὸ τῶν πολεμίων στράτευμα.

θ'. Φιλοῦσι δέ πως στρατιῶται, ὅσῳ ἂν πλείους ὦσι, τοσούτῳ πλείω ἁμαρτάνειν. ἢ γὰρ ἐπὶ τὰ ἐπιτήδεια ἐπιμελείᾳ σκεδάννυνται, ἢ πορευομένων ἀταξίᾳ οἱ μὲν προέρχονται, οἱ δὲ ὑπολείπονται πλέον τοῦ καιροῦ.

ι'. Τὰ οὖν τοιαῦτα ἁμαρτήματα οὐ χρὴ παριέναι ἀκόλαστα, (εἰ δὲ μὴ, ὅλη ἡ χώρα στρατόπεδον ἔσται·) ἐκεῖνο καλῶς προνοοῦντα, ὥστε ποιήσαντά τι φθάσαι ἀποχωρήσαντα,

ſidiarios efficiet. Eos vero, qui conſtituta jam cuſtodia ſuperfuerint, ſi quis ut exercitum habere ſe duxerit; ſane perexiguus hic ei videbitur. Nam in univerſum erit inferior ad pugnæ periculum aperto marte ſubeundum.

8. Sin eis ut prædonibus utatur, ſatis ſuperque magnas ad hoc inſtitutum copias habebit, uti quidem adparet. Debet autem, meo judicio, paratos ſemper habere ſuos, & occultando ſuas actiones & conſilia, num in aliqua re delinquat hoſtilis exercitus, obſervare.

9. Solent vero plerumque milites, quanto plures ſunt, tanto magis peccare ac labi. Nam vel ob curam parandi res neceſſarias, hinc inde diſperguntur; vel iter abſque ordine facientes, alii præcedunt, alii longius quam par & opportunum ſit, à tergo manent.

10. Hujuſmodi errores & peccata minime relinquenda ſunt impunita, niſi quis regionem totam caſtra diſperſi militis eſſe velit: & hoc recte providendum, ut facinore quodam edito, prius abſcedat, quam majores

χωρήσαντα, πρὶν τὸ πολὺ βοηθοῦν ἐπιγενέσθαι.

ια΄. Πολλάκις δὲ πορευόμενον στράτευμα, καὶ εἰς ὁδοὺς ἔρχεται, ἐν αἷς οὐδὲν πλέον οἱ πολλοὶ τῶν ὀλίγων δύνανται. καὶ ἐν διαβάσεσί γε ἔστι τῷ προσέχοντι τὸν νοῦν ἀσφαλῶς ἐφεπομένῳ ταμιεύσασθαι, ὥστε ὁπόσοις ἂν βούληται τῶν πολεμίων ἐπιτίθεσθαι.

ιβ΄. Ἔστι δὲ ὅτε καλὸν καὶ στρατοπεδευομένοις, καὶ ἀριστῶσι, καὶ δειπνοποιουμένοις ἐπιχειρεῖν, καὶ ἐκ κοίτης γε ἀνισταμένοις. ἐν πᾶσι γὰρ τούτοις ἄοπλοι στρατιῶται γίγνονται, μείονα μὲν χρόνον οἱ ὁπλῖται, πλείονα δὲ οἱ ἱππεῖς.

ιγ΄. Σκοποῖς μέντοι καὶ προφυλακαῖς οὐδέ ποτε δεῖ παύεσθαι ἐπιβουλεύοντα. οὗτοι γὰρ αὖ ὀλίγοι μὲν ἀεὶ καθίστανται, πολὺ δὲ τοῦ ἰσχυροῦ ἐνίοτε ἀποστατοῦσιν.

ιδ΄. Ὅταν δὲ τὰ τοιαῦτα ἤδη καλῶς φυλάττωνται οἱ πολέμιοι, καλόν ἐστι σὺν θεῷ λαθόντα ἐλθεῖν εἰς τὴν πολεμίαν, μεμελετηκότα οἵ τε ἑκασταχοῦ, καὶ πού τε χώρας προφυλάττουσιν. οὐδεμία γὰρ οὕτω καλὴ λεία, ὡς αἱ φυλακαί, ἣν κρατηθῶσι.

ιε΄. Καὶ

jores hostium copiæ ferendi auxilii causa superveniant.

11. Sæpius etiam, dum iter facit exercitus, ad eas vias pervenit, in quibus multi plus efficere, quam pauci, minime possint. Itidem ad loca transitu difficilia licebit animum adtendenti, ac tuto subsequenti, sic arbitratu suo rem gerere; ut quam multos ex hostibus velit, invadat.

12. Nonnunquam commodum & castra metantes, & prandentes, & cœnantes, & è cubili surgentes adgredi. Sunt enim milites in his omnibus inermes, ac breviori quidē tempore pedites, equites diutius.

13. Speculatoribus & excubiis nunquam insidiari desinet. Nam pauci semper ad hoc constituuntur, & interdum ab exercitus robore procul absunt.

14. Ubi vero satis hostes in his sibi cavent, recte faciet, si ope divina fretus in hosticum occulte contendet; ubi prius ei curæ fuerit quotnam singulis in locis, & qua parte regionis excubias agant. Quippe nulla tam pulchra præda est, ut captarum excubiarum.

15. Et

ιέ. Καὶ εὐεξαπάτητοι δ᾽ εἰσὶν οἱ φύλακες. διώκουσι γὰρ ὅ,τι ἂν ὀλίγον ἴδωσι, νομίζοντες σφίσι τοῦτο προστετάχθαι. τὰς μέντοι ἀποχωρήσεις σκοπεῖν δεῖ, ὅπως μὴ ἐναντία τοῖς βοηθοῦσιν ἔσονται.

ΚΕΦ. ή.

Τοὺς μέντοι μέλλοντας δυνήσεσθαι ἀσφαλῶς τὸ πολὺ κρεῖττον στράτευμα κακουργεῖν, σαφῶς δεῖ τοσοῦτον διαφέρειν, ὥστε τοὺς μὲν, ἀσκητὰς φαίνεσθαι τῶν πολεμικῶν ἐν ἱππικῇ ἔργων, τοὺς δὲ πολεμίους, ἰδιώτας.

β'. Τοῦτο δ᾽ ἂν εἴη, εἰ πρῶτον μὲν λήιζεσθαι μέλλοντες ἐκπεπονημένοι εἶεν τῇ ἐλάσει, ὥστε δύνασθαι στρατιωτικοὺς πόνους ὑποφέρειν. οἱ γὰρ πρὸς ταῦτα ἀμελῶς ἔχοντες καὶ ἵπποι καὶ ἄνδρες, εἰκότως ἂν ὥσπερ γυναῖκες πρὸς ἄνδρας ἀγωνίζοιντο.

γ'. Οἱ δέ γε δεδιδαγμένοι τε καὶ εἰθισμένοι τάφρους τε

15. Et decipi facile possunt excubitores. Nam quidquid exiguo numero viderint, persequuntur: idque sibi mandatum existimant. In receptu considerandum, ne fiat in eam partem, qua suis opem laturi hostes occurrant.

CAP. VIII.

QUi vero facultatem habituri sint adficiendi detrimento copias longe se potiores absque discrimine suo, eos haud dubie necesse est adeo præstare cæteris; ut ipsi quidem in equestris rei bellicis operibus exerciti athletæ, hostes vero rudes esse videantur.

2. Possit autem hoc primum ita fieri, si ad prædam exituri, sic equitationi laborando adsueverint, ut tolerare labores militares queant. Qui enim ad hæc & equi & equites studiose non adsuefiunt, haud dubie non aliter ac fœminæ contra viros in certamen descendent.

3. Edocti vero & adsuefacti transilire

τε διαπηδᾷν, καὶ τειχία ὑπεραίρειν, καὶ ἐπ' ὄχθους ἀνάλλεσθαι· καὶ ἀφ' ὑψηλῶν ἀσφαλῶς κατιέναι, καὶ ἐς τὰ ἐνάντη ταχὺ ἐλαύνεσθαι, οὗτοι δ' αὖ τοσοῦτο διαφέροιεν ἂν τῶν ἀμελετήτων ταῦτα ὅσον περ πτηνοὶ πεζῶν· οἱ δέ γε αὖ τοὺς πόδας ἐκπεπονημένοι τῶν ἀτριβάστων πρὸς τραχέα, ὅσον περ ὑγιεῖς χωλῶν· καὶ οἵγε τῶν τόπων ἔμπειροι πρὸς τοὺς ἀπείρους τοσοῦτον ἐν ταῖς προελάσεσι καὶ ἀποχωρήσεσι διαφέροιεν ἄν, ὅσον περ οἱ ὁρῶντες τῶν τυφλῶν.

δ'. Καὶ τοῦτο δὲ χρὴ εἰδέναι, ὅτι *οἱ εὐοχούμενοι ἵπποι, *μὴ ἐκπεπονημένοι δέ, ὥστε ἀποπνίγεσθαι ἐν τοῖς πόνοις, εὖ παρεσκευασμένοι εἰσί. χρὴ δέ, ἐπείπερ χαλινοὶ καὶ ἐφίππια ἐξ ἱμάντων ἠρτημένα ἐστὶ χρήσιμα, μή ποτε τὸν ἵππαρχον τούτων ἔρημον εἶναι. μικρᾷ γὰρ δαπάνῃ τοὺς ἀπορουμένους χρησίμους ἂν παρέχοιτο.

έ. Εἰ δέ τις νομίζοι πολλὰ ἔχειν πράγματα, εἰ οὕτω δεήσει ἀσκεῖν τὴν ἱππικήν, ἐνθυμηθήτω, ὅτι οἱ εἰς τοὺς γυμνικοὺς ἀγῶνας ἀσκοῦντες, πολὺ πλείω πράγματα καὶ χαλε-

transſilire foſſas, ſuperare muros, in tumulos ſaltu evadere, de locis ſublimibus tuto deſcendere, adverſus acclivia celeriter agere; hi ſcilicet inexercitatis ad iſta tantum præſtiterint, quantum pedeſtribus alites: ac rurſus illi, quorum pedes laboribus obduruere, tantum iis qui vias aſperas non trivere, quantum ſani claudis: gnari denique locorum in procurſionibus, & receptibus, tantum ignaris præſtiterint, quantum videntes cæcis.

4. Hoc quoque ſciendum, equos recte comparatos, non eos eſſe, qui adeo ſaginati ſint, ut in laboribus ſuffocentur; ſed qui ſint ad equitationis laborem idonei. Et quia frænis ac ephippiis uti licet, ubi loris concinnata ſunt & refecta; nunquam his carere magiſter equitum debet. Nam exiguo ſumtu deſtitutos ab his utiles reddiderit.

5. Si quis autem exiſtimet, multis ſe negotiis oneratum iri, ſi res equeſtris ei ſic exercenda ſit: is cum animo ſuo cogitet, illos, qui ad ludos gymnicos exercentur, multo plus laboris ac moleſtiæ

χαλεπώτερα ἔχουσιν, ἢ οἱ τὴν ἱππικὴν τὰ μάλιστα μελετῶντες.

ϛʹ. Καὶ γὰρ τῶν μὲν γυμνικῶν ἀσκημάτων τὰ πολλὰ σὺν ἱδρῶτι ἐκπονοῦνται, τῆς δὲ ἱππικῆς τὰ πλεῖστα μεθ' ἡδονῆς. ὅπερ γὰρ εὔξαιτ' ἄν τις πτηνὸς γενέσθαι, οὐκ ἔστιν ὅ,τι μᾶλλον τῶν ἀνθρωπίνων ἔργων ἔοικεν αὐτῷ.

ζʹ. Καὶ μὴν τό γε ἐν πολέμῳ νικᾶν πολλῷ εὐδοξότερον, ἢ πυγμῇ. μετέχει μὲν γάρ τι καὶ ἡ πόλις ταύτης τῆς δόξης. ὡς δὲ τὰ πολλὰ ἐπὶ τῇ τοῦ πολέμου νίκῃ καὶ εὐδαιμονίᾳ οἱ θεοὶ τὰς πόλεις στεφανοῦσιν. ὥστ' οὐκ οἶδ' ἔγωγε, τίνα προσήκει ἄλλ' ἄττα μᾶλλον ἀσκεῖσθαι, ἢ τὰ πολεμικά.

ηʹ. Εννοεῖν δὲ χρὴ, ὅτι καὶ οἱ κατὰ θάλατταν λῃσταὶ, διὰ τὸ πονεῖν ἠσκηκέναι, δύνανται ζῆν καὶ ἀπὸ τῶν πολὺ κρειττόνων. προσήκει γε μὴν καὶ κατὰ γῆν οὐ τοῖς καρπουμένοις τὰ ἑαυτῶν, ἀλλὰ τοῖς στερισκομένοις τῆς τροφῆς λῄζεσθαι. ἢ γὰρ ἐργαστέον, ἢ ἀπὸ τῶν εἰργασμένων θρεπτέον.

stiæ sustinere, quam eos qui rem equestrem studio maximo tractāt.

6. Etenim exercitia pleraque gymnica cum sudore suscipiuntur, quum major equestris rei pars cum voluptate conjuncta sit. Quippe quod optare quispiam fortasse possit, ut alitis instar volet; ei nihil in rebus humanis equitatione similius est.

7. Quinetiam in bello victoriam adipisci, multo gloriosius est, quam in lucta. Nam ad ipsam quoque civitatem ejus gloriæ pars aliqua manat. Ac plerumque Dii per victoriam, felicesque successus in bello, coronare civitates solent. Itaque scire equidem nequeo, quænam aliæ res potius exerceri, quam bellicæ, debeant.

8. Hoc quoque cogitandum, prædones maritimos, propterea quod ad labores adsuefacti sint, victum ab iis sibi parare posse, qui viribus longe sunt ipsis potiores. Convenit & terra prædas agere, non eos, qui fructus è rebus suis percipiunt; sed qui victu carent. Nam aut opus faciundum, aut victitandum ex iis, quæ labor alienus excoluit.

πλέον. ἄλλως δ᾽ οὐ ῥᾴδιον οὔτε βιοτεύειν, οὔτε εἰρήνης τυχεῖν.

θ'. Μεμνῆσθαι δὲ κἀκεῖνο χρὴ, μή ποτε ἐπὶ τοὺς κρείττους ἐλαύνειν, ὄπισθεν ἵπποις δύσβατον ποιούμενον. οὐ γὰρ ὅμοιον, φεύγοντι καὶ διώκοντι σφαλῆναι.

ι'. Ἔτι δὲ βούλομαι ὑπομνῆσαι καὶ τόδε φυλάττεσθαι. εἰσὶ γάρ τινες, οἳ ὅταν μὲν ἴωσιν ἐπὶ τούτους, ὧν ἂν οἴονται κρείττους εἶναι, παντάπασιν ἀσθενεῖ δυνάμει ἔρχονται, ὥστε πολλάκις ἔπαθον, ἃ ᾤοντο ποιήσειν· ὅταν δ᾽ ἐπὶ τούτους, ὧν ἂν σαφῶς ἐπίστωνται ἥττους ὄντες, πᾶσαν ὅσην ἂν ἔχωσι δύναμιν ἄγουσιν.

ια'. Ἐγὼ δέ φημι χρῆναι τἀναντία τούτων ποιεῖν· ὅταν μὲν κρατήσειν οἰόμενος ἄγῃ, μὴ φείδεσθαι τῆς δυνάμεως, ὅσην ἂν ἔχῃ. τὸ γὰρ πολὺ νικᾷν οὐδενὶ πώποτε μεταμέλειαν παρέσχεν.

ιβ'. Ὅταν δὲ τοῖς πολὺ κρείττοσιν ἐπιχειρῇ, καὶ προγινώσκῃ, ὅτι ποιήσαντα ὅ,τι ἂν δύνηται, φευκτέον ἐστὶν, εἰς τὰ

excoluit. Aliter nec vivere, nec pace potiri, facile.

9. Revocandum & hoc in memoriam, ne quis in ſuperiores ſe viribus ſic invehatur; ut à tergo receptum equis difficilem ob locorum aſperitatem habeat. Quippe non par in fuga & in perſequendo impingenti, periculum eſt.

10. Monere libet, in eo quoque cautionem adhibendam. Etenim quidam in eos pergentes, quibus ſe ſuperiores eſſe putant, tam infirmas omnino copias ſecum ſumunt; ut ſæpenumero patiantur ea quæ aliis ſe illaturos exiſtimabant: at illos invadentes, quibus ſe certo ſciunt inferiores eſſe, vires omnes, quas habent, adducunt.

11. Ego vero his adſero contraria plane faciunda, ut quum in opinione ac ſpe victoriæ copias aliquis educit, exercitui ſuo non parcat, quantuſcumque is fuerit. Nunquam enim magnæ victoriæ quenquam pœnituit.

12. Quum autem ſe multo ſuperiores adgreditur, ac futurum proſpicit, ut tametſi pro viribus omnia geſſerit, fugere tamen cogatur:

τὰ τοιαῦτα φημι πολὺ κρεῖττον εἶναι ὀλίγους, ἢ πάντας προσάγειν· τοὺς μέντοι ἀπειλεγμένους καὶ ἵππους, καὶ ἄνδρας τοὺς κρατίστους. τοιοῦτοι γὰρ ὄντες καὶ ποιῆσαι ἄν τι, καὶ ὑποχωρῆσαι ἀσφαλέστερον ἂν δύναιντο.

ιγ΄. Ὅταν δὲ πρὸς τοὺς κρείττους πάντας προσαγαγὼν ἀποχωρεῖν βούληται, ἀνάγκη τοὺς μὲν ἐπὶ τῶν βραδυτάτων ἵππων ἁλίσκεσθαι, τοὺς δὲ καὶ δι᾽ ἀφιππείαν πίπτειν, τοὺς δὲ καὶ διὰ δυσχωρίας ἀπολαμβάνεσθαι. καὶ γὰρ πολὺν τόπον χαλεπὸν εὑρεῖν οἷον ἄν τις εὔξαιτο.

ιδ΄. Ὑπό γε μὴν τοῦ πλήθους καὶ συμπίπτοιεν ἄν, καὶ ἐμποδίζοντες πολλὰ ἂν ἀλλήλους κακουργοῖεν. οἱ δ᾽ ἀγαθοὶ ἵπποι καὶ ἱππῆς δυνατοὶ καὶ ἐξ αὐτῶν διαφεύγειν, ἄλλως τε ἂν καὶ μηχανᾶταί τις τοῖς διώκουσι φόβον ἀπὸ τῶν περιττῶν ἱππέων.

ιε΄. Σύμφορον δ᾽ εἰς τοῦτο καὶ αἱ ψευδενέδραι. χρήσιμον δὲ κἀκεῖνο, τὸ εὑρίσκειν, πόθεν ἂν οἱ φίλοι ἐξ ἀσφαλοῦς ἐπιφαινόμενοι βραδυτέρους τοὺς διώκοντας παρέχοιεν.

ις΄. Ἀλλὰ

gatur: tum longe ſatius eſſe aio, paucos potius, quam multos abduci; ſed omnino ſelectos equos, & viros præſtantiſſimos. Tales enim & efficere aliquid, & tutius ſe recipere poterunt.

13. At ſi contra ſe potiores adductis ſuis omnibus, recipere ſe velit: neceſſe eſt tardiſſimis equis utentes capi, alios ob rei equeſtris imperitiam labi, alios ob locorum difficultates intercipi. Non enim facile eſt, ad magnum aliquod ſpatium talem invenire locum, qualem aliquis optet.

14. Quinetiam fiet, ut ob equorum multitudinem in ſeipſos corruant, & mutuo ſe non parum impedientes, damnis adficiant. E diverſo & equi, & equites boni, è manibus hoſtium diffugere poſſunt; præſertim ſi quis arte quadam per equites quos ſuperſtites habet, formidinem perſequentibus incutiat.

15. Sunt autem ad hoc utiles inſidiæ fictæ. Nec minus hoc quoq; commodum, invenire viam aliquam, unde ſe noſtri tuto conſpiciendos hoſtibus exhibentes, impetum perſequentium reprimant.

16. Ma-

ιϛ'. Ἀλλὰ μὴν καὶ τόγε δῆλον, ὡς πόνοις καὶ τάχει οἱ ὀλίγοι τῶν πολλῶν πολὺ μᾶλλον ἢ οἱ πολλοὶ τῶν ὀλίγων περιγίγνοιντ' ἄν. καὶ οὐ λέγω, ὡς διὰ τὸ ὀλίγοι εἶναι, καὶ πονεῖν μᾶλλον δυνήσονται, καὶ θάττους ἔσονται· ἀλλ' ὅτι ῥᾷον εὑρεῖν ὀλίγους, ἢ πολλοὺς τοὺς καὶ τῶν ἵππων ἐπιμελησομένους ὡς δεῖ, καὶ αὐτοὺς φρονίμως μελετήσοντας τὴν ἱππικήν.

ιζ'. Ἢν δέ ποτε συμβαίνῃ ἀγωνίζεσθαι πρὸς παραπλησίους ἱππέας, ἐγὼ μὲν οἶμαι οὐκ ἂν χεῖρον εἶναι, εἴ τις δύο τάξεις ἐκ τῆς φυλῆς ποιήσειεν, καὶ τῆς μὲν ὁ φύλαρχος ἡγοῖτο, τῆς δὲ ἄλλης ὅστις ἄριστος δοκοίη εἶναι.

ιη'. Οὗτος δὲ τέως μὲν ἕποιτο κατ' οὐρὰν τῆς μετὰ τοῦ φυλάρχου τάξεως, ἐπεὶ δ' ἐγγὺς ἤδη εἶεν οἱ ἀντίπαλοι, ἀπὸ παραγγέλσεως παρελαύνοι ἐπὶ τοὺς πολεμίους. οὕτω γὰρ οἶμαι καὶ ἐκπληκτικωτέρους τοῖς ἐχθροῖς ἂν εἶναι, καὶ δυσμαχωτέρους.

ιθ'. Εἰ δὲ πεζοὺς ἔχοιεν ἑκάτεροι, καὶ οὗτοι ἀποκεκρυμμένοι

16. Manifestum & illud, multo citius paucos pluribus superiores evadere, tum laborando tum accelerando, quam multos paucis. Neque tamen hoc equidem dico, posse aliquos, propterea quod pauci sint, & laboribus magis sufficere, & celeritate vincere: sed esse facilius invenire paucos, quam multos, qui & curam equis debitam adhibeant, & ipsi rem equestrem prudenter exerceant.

17. Quod si aliquando usuveniat, ut certamen adversus equites pares ineundum sit; mea sane sententia non male quis egerit, si cohortes ex una tribu duas fecerit, quarum uni tribunus ipse præsit, alteram ducat aliquis hominum opinione præstantissimus.

18. Hic vero tribuni cohortem aliquantum à tergo sequatur, atq; ubi jam propius ad hostes ventum fuerit, re suis denuntiata, in adversarios cursu prætervehatur. Sic enim futurum opinor, ut majori hostibus terrori sint, & pugna superari difficilius possint.

19. Sin utrique pedites habeant, etiam hi post equites occultati

μένοι ὄπισθεν τῶν ἱππέων, ἐξαπίνης δὲ παραφαινόμενοι καὶ ὁμόσε ἰόντες, δοκοῦσιν ἄν μοι τὴν νίκην πολὺ μᾶλλον κατεργάζεσθαι. ὁρῶ γὰρ τὰ παράδοξα, ἣν μὲν ἀγαθὰ ᾖ, μᾶλλον εὐφραίνοντα τοὺς ἀνθρώπους· ἢν δὲ δεινὰ, μᾶλλον ἐκπλήττοντα.

κ'. Ταῦτα δὲ γνοίη ἄν τις μάλιστα ἐνθυμούμενος, ὡς οἵ τε ἐνέδραις ἐμπίπτοντες ἐκπλήττονται, καὶ ἐὰν πολὺ πλείους ὦσι· καὶ ὅταν πολέμιοι ἀλλήλοις ἀντικάθωνται, ὡς πολὺ ταῖς πρώταις ἡμέραις φοβερώτατα ἔχουσιν.

κα'. Ἀλλὰ τὸ μὲν διατάξαι ταῦτα, οὐ χαλεπόν· τὸ δὲ εὑρεῖν τοὺς φρονίμως, καὶ πιστῶς, καὶ προθύμως, καὶ εὐψύχως προελῶντας ἐπὶ τοὺς πολεμίους, τοῦτο ἤδη ἀγαθοῦ ἱππάρχου.

κβ'. Δεῖ γὰρ καὶ λέγειν αὐτὸν ἱκανὸν εἶναι, καὶ ποιεῖν τοιαῦτα, ἀφ' ὧν οἱ ἀρχόμενοι γνώσονται ἀγαθὸν εἶναι τό, τε πείθεσθαι, καὶ τὸ ἕπεσθαι, καὶ τὸ ὁμόσε ἐλαύνειν τοῖς πολεμίοις· καὶ ἐπιθυμήσουσι τοῦ καλόν τι ἀκούειν, καὶ δυνήσονται ἃ ἂν γνῶσιν, ἐγκαρτερεῖν.

κγ'. Ἐὰν

cultati ſubitoque prodeuntes, & hoſtem comminus invadentes, majus mihi momentum ad victoriam adlaturi videntur. Nam inopinata pleraque, ſi bona ſint, majorem hominibus lætitiam adferre video: ſi dira, plus terroris incutere.

20. Licet hoc inprimis inde cognoſcere, ſi quis ſecum expendat, quantopere terreantur ii qui delabuntur in inſidias, tametſi numero longe plures ſint; & quum hoſtes hoſtibus adverſi conſident, quam ingens primis diebus apud utroſque metus ſit.

21. Sed enim hæc ordinari, abſque magna difficultate poſſint: at eos invenire, qui & prudenter, & fideliter, & alacriter, & animoſe proruant in hoſtes, id jam boni eſt equitum magiſtri.

22. Nam & dicendi facultate præditum hunc eſſe oportet, & ea faciendi, de quibus illi, quos imperio ſuo continet, tum bonum eſſe cognoſcant & parere huic, & ducentem ſequi, & comminus hoſtes invadere; tum etiam cupidi ſint laudis & celebrationis, ac in ſententia conſtanter perſeverare poſſint.

23. Jam

κγ'. Ἐὰν δέ ποτε αὖ ἢ φαλάγγων ἀντιτεταγμένων, ἢ χωρίων ἑκατέροις ὑπαρχόντων ἐν τῷ μέσῳ, τοῖς ἱππεῦσιν ἀναστροφαί τε, καὶ διώξεις, καὶ ἀποχωρήσεις γίγνωνται, εἰώθασι μὲν ὡς τὰ πολλὰ ἐν τοῖς τοιούτοις ὁρμᾶν μὲν ἐκ τῶν ἀναστροφῶν βραδέως ἀμφότεροι, τὸ δ' ἐν μέσῳ τάχιστα ἐλαύνειν.

κδ'. Ἢν δέ τις οὕτω προδείξας, ἔπειτα δ' ἐκ τῶν ἀναστροφῶν ταχέως τε διώκῃ καὶ ταχέως ἀποχωρῇ, βλάπτειν τ' ἂν μάλιστα τοὺς πολεμίους δύναιτο, καί, ὡς τὸ εἰκός, ἀσφαλέστατ' ἂν διάγοι· ταχὺ μὲν διώκων, ἐν ᾧ ἂν ἐγγὺς ᾖ τοῦ ἑαυτοῦ ἰσχυροῦ, ταχὺ δὲ ἀποχωρῶν ἀπὸ τῶν τοῖς πολεμίοις ἰσχυρῶν.

κε'. Εἰ δὲ καὶ λαθεῖν δύναιτο ἀπὸ τῆς τάξεως ἑκάστης καταλιπὼν ἢ τέτταρας ἢ πέντε τῶν κρατίστων ἵππων τε καὶ ἀνδρῶν, πολὺ ἂν προέχοιεν εἰς τὸ ἐπαναστρεφομένοις τοῖς πολεμίοις ἐμπίπτειν.

ΚΕΦ.

23. Jam ſi aliquando vel aciebus ex adverſo inſtructis, vel locis amborum copiis interjectis, faciundæ ſint equitibus converſiones, & inſequutiones, & receptus; ſolent quidem ut plurimum in his utrique lentius poſt converſiones provehi, mediumque ſpatium celerrimo cum impetu conficere.

24. Si quis autem his ita prius oſtenſis, deinde facta converſione celeriter inſequatur, & celeriter ſe recipiat: plurimum ſane damni hoſtibus hoc modo inferre poterit, & imprimis ſecuritati ſuæ proculdubio conſulet; dum celeriter inſequetur, robori ſuorum vicinus; & viciſſim celeriter ab hoſtium robore ſe recipiet.

25. Si quis vero de cohortibus ſingulis occulte vel quatuor vel quinque præſtantiſſimos equos, & viros, relinquere poſſet; longe hi potiori eſſent conditione ad irruendum in hoſtes ſe convertentes.

ΚΕΦ. θ'.

Ταῦτα δὲ ἀναγιγνώσκειν μὲν καὶ ὀλιγάκις ἀρκεῖ, ποιεῖν δὲ τὸ παρατυγχάνον αὐτῷ ἀεὶ δεῖ, καὶ πρὸς τὸ παριστάμενον σκοποῦντα, τὸ συμφέρον ἐκπονεῖν. γράψαι δὲ πάντα, ὁπόσα δεῖ ποιεῖν, οὐδὲν μᾶλλον οἷόν τέ ἐστιν, ἢ τὰ μέλλοντα πάντα εἰδέναι.

β'. Πάντων δὲ τῶν ὑπομνημάτων ἔμοιγε δοκεῖ κράτιστον εἶναι τὸ, ὅσα ἂν γνῷ ἀγαθὰ εἶναι, ἐπιμελεῖσθαι ὡς ἂν πραχθῇ. ὀρθῶς δὲ γιγνωσκόμενα οὐ φέρει καρπὸν οὔτε ἐν γεωργίᾳ, οὔτε ἐν ναυκληείᾳ, οὔτε ἐν ἀρχῇ, ἢν μήτις ἐπιμελῆται, ὡς ἂν ταῦτα περαίνηται.

γ'. Φημὶ δ' ἐγὼ ταῦτα, σὺν τοῖς Θεοῖς καὶ τὸ πᾶν ἱππικὸν ὧδ' ἂν πολὺ θᾶσσον ἐκπληρωθῆναι εἰς τοὺς χιλίους ἱππέας, καὶ πολὺ ῥᾷον τοῖς πολίταις, εἰ διακοσίους ἱππεῖς ξένους καταστήσαιντο. δοκοῦσι γὰρ ἂν μοι οὗτοι προσγενόμενοι,

CAP. IX.

HÆc ut vicibus non multis legisse sufficit, ita quod plerumque se offert, exsequendum; & ejus habita ratione, quod adest, quidquid expedit, elaborandum. Omnia vero, quæ fieri oporteat, non magis prodi litteris possunt; quam omnia futura sciri.

2. Hoc autem inter omnes has admonitiones & præcepta mihi quidem optimum esse videtur, ut quidquid aliquis bonum esse cognoverit; id uti fiat, diligenter enitatur. Nam quæ recte intelliguntur, ea neque in agricultura, neque naviculatoria, neque imperandi munere fructum aliquem pariunt; nisi quis studium adhibeat, ut perficiantur.

3. Ego vero futurum adfirmo, ut Diis bene juvantibus hoc modo totus equitatus ad mille compleatur longe citius, & minore cum civium molestia, si ducentos equites externos stipendio conducerent. Videntur tamen & hi mihi, si

γενόμενοι, καὶ * εὐπιστότερον ἂν πᾶν τὸ ἱππικὸν ποιῆσαι, καὶ φιλοτιμότερον πρὸς ἀλλήλους περὶ ἀνδραγαθίας.

δ'. Οἶδα δ' ἔγωγε καὶ Λακεδαιμονίοις ἱππικὸν ἀρξάμενον εὐδοκιμεῖν, ἐπεὶ ξένους ἱππέας προσέλαβον. καὶ ἐν ταῖς ἄλλαις δὲ πόλεσι πανταχοῦ τὰ ξενικὰ ὁρῶ εὐδοκιμοῦντα. ἡ γὰρ χρεία μέγα τι εἰς προθυμίαν συμβάλλεται.

ε'. Εἰς δὲ τιμὴν τῶν ἵππων νομίζω ἂν αὐτοῖς χρήματα ὑπάρξαι, καὶ παρὰ τῶν σφόδρα ἀπεχομένων τοῦ ἱππεύειν, ὅτι καὶ οἷς καθήκει τὸ ἱππικὸν, ἐθέλουσι τελεῖν ἀργύριον, ὡς μὴ ἱππεύειν· παρὰ πλουσίων τε, ἀδυνάτων δὲ τοῖς σώμασιν· οἴομαι δὲ καὶ παρὰ ὀρφανῶν τῶν δυνατοὺς οἴκους ἐχόντων.

ϛ'. Νομίζω δὲ καὶ μετοίκων φιλοτιμεῖσθαι ἄν τινας εἰς ἱππικὴν καθισταμένους. ὁρῶ γὰρ καὶ τῶν ἄλλων, ὁπόσων ἂν καλῶν ὄντων μεταδιδῶσιν αὐτοῖς οἱ πολῖται, φιλοτίμως ἐνίους ἐθέλοντας τὸ προσταχθὲν διαπράττεσθαι.

ζ'. Δοκεῖ

ſi quidem acceſſerint, tum dicto magis audientem equitatum effecturi, tum virtutis in certamine mutuo laudis & honoris avidiorẽ.

4. Nec me latet, equitatum apud Lacedæmonios in exiſtimatione tunc eſſe cœpiſſe, quum equites ſuis externos adjunxiſſent. Itidem ubique probari video & in aliis civitatibus equites externos. Nam uſus atque neceſſitas ad alacritatem non parum confert.

5. Ad equorum vero pretia pecuniam habituros arbitror, & ab iis qui vehementer ab equitando abhorrent, quandoquidem illi pecuniam pendere malunt, ad quos munus equeſtris rei pertinet, ut equitare non cogantur; & conſimiliter à locupletibus, ſed robore corporum deſtitutis: nec minus à pupillis, mea quidem opinione, quibus opima domi res familiaris eſt.

6. Advenarum etiam pleroſque ſi referantur inter equites, liberaliter ſe geſturos arbitror. Nam in aliis quoque muneribus honeſtis, ad quorum ſocietatem à civibus admittuntur, ambitioſe nonnullos imperata facere velle video.

7. Pedi-

ζ'. Δοκεῖ δ' ἄν μοι καὶ πεζὸν σὺν τοῖς ἵπποις ἐνεργότατον εἶναι, εἰ συσταθείη ἐξ ἀνδρῶν τῶν ἐναντιωτάτων τοῖς πολεμίοις. ταῦτα δὲ πάντα Θεῶν συνεθελόντων γένοιτ' ἄν.

η'. Εἰ δέ τις τοῦτο θαυμάζει, ὅτι πολλάκις γέγραπται τὸ σὺν θεῷ πράττειν, εὖ ἴστω, ὅτι ἢν πολλάκις κινδυνεύῃ, ἧττον τοῦτο θαυμάσεται· καὶ ἢν γε κατανοῇ, ὅτι ὅταν πόλεμος ᾖ, ἐπιβουλεύουσι μὲν ἀλλήλοις οἱ ἐναντίοι, ὀλιγάκις δὲ ἴσασι, πῶς ἔχει τὰ ἐπιβουλευόμενα.

θ'. Τὰ οὖν τοιαῦτα οὐδὲ ὅτῳ συμβουλεύσαιτό τις, οἷόν τε εὑρεῖν, πλὴν Θεῶν· οὗτοι δὲ πάντα ἴσασι, καὶ προσημαίνουσιν ᾧ ἂν ἐθέλωσι, καὶ ἐν ἱεροῖς, καὶ ἐν οἰωνοῖς, καὶ ἐν φήμαις, καὶ ἐν ὀνείρασιν. εἰκὸς δὲ μᾶλλον ἐθέλειν αὐτοὺς συμβουλεύειν τούτοις, οἳ ἂν μὴ μόνον, ὅταν δέωνται, ἐπερωτῶσι τί χρὴ ποιεῖν, ἀλλὰ καὶ ἐν ταῖς εὐτυχίαις θεραπεύωσιν ὅ,τι ἂν δύνωνται τοὺς Θεούς.

ΞΕΝΟ-

7. Peditatus item adjunctus equitatui plurimum mihi videtur effecturus, si talibus è viris institutus fuerit, qui hostibus maxime sint contrarii. Poterunt autem hæc omnia fieri, si divinum suffragium accesserit.

8. Quod si miratur aliquis, in hoc scripto toties à me repeti, suscipiendas cum ope numinis actiones omnes: is minus se miraturum norit, si pericula sæpius adeat, secumque cogitet, adversarios in bello sibi mutuo insidiari; sed raro nosse quomodo res illorum comparatæ sint, quibus insidiæ struuntur.

9. In his igitur ne quidem inveniri potest quem in consilium adhibeat aliquis, extra Deos. Hi vero norunt omnia, futuraque denuntiant, cui volunt, in extis, auguriis, ominibus, visis somniorum. Et consentaneum sane vero est, potius hos agendorum auctores illis esse velle, qui non solum eos, ubi res ita postulat, de agendis consulunt: verumetiam rebus adhuc secundis, pro virili Deos colunt.

XENO-

ΞΕΝΟΦΩΝΤΟΣ
ΚΥΝΗΓΕΤΙΚΟΣ.

ΚΕΦ. α΄.

ΤΟ μὲν εὕρημα Θεῶν Ἀπόλλωνος καὶ Ἀρτέμιδος, ἄγραι καὶ κύνες· ἔδοσαν δὲ καὶ ἐτίμησε τούτῳ Χείρωνα, διὰ δικαιότητα.

β΄. Ὁ δὲ λαβὼν ἐχάρη τῷ δώρῳ, καὶ ἐχρῆτο· καὶ ἐγένοντο αὐτῷ μαθηταὶ κυνηγεσιῶν τε, καὶ ἑτέρων καλῶν, Κέφαλος, Ἀσκληπιὸς, Μελανίων, Νέστωρ, Ἀμφιάραος, Πηλεὺς, Τελαμὼν, Μελέαγρος, Θησεὺς, Ἱππόλυτος, Παλαμήδης, Ὀδυσσεὺς, Μενεσθεὺς, Διομήδης, Κάστωρ, Πολυδεύκης, Μαχάων, Ποδαλείριος, Ἀντίλοχος, Αἰνείας, Ἀχιλλεύς· ὧν κατὰ χρόνον ἕκαστος ὑπὸ Θεῶν ἐτιμήθη.

γ΄. Θαυ-

XENOPHONTIS
DE VENATIONE.

CAP. I.

VENATIONES & canes, inventum ſunt Deorum, Apollinis ac Dianæ: qui Chironem, eo donatum, ob juſtitiam ornarunt.

2. Is hoc munere accepto lætatus, utebatur: ac diſcipulos tum in venationibus tum aliis præclaris rebus habebat, Cephalum, Æſculapium, Melanionem, Neſtorem, Amphiaraum, Peleum, Telamonem, Meleagrum, Theſeum, Hippolytum, Palamedem, Ulyſſem, Meneſtheum, Diomedem, Caſtorem, Pollucem, Machaonem, Podalirium, Antilochum, Æneam, Achillem: quorum quiſque ſuo tempore à Diis ornatus fuit.

3. Neque

γ'. Θαυμαζέτω δὲ μηδεὶς, ὅτι οἱ πολλοὶ αὐτῶν ἀρέσκοντες θεοῖς ὅμως ἐτελεύτησαν, (τοῦτο μὲν γὰρ ἡ φύσις· ἀλλ' οἱ ἔπαινοι αὐτῶν μεγάλοι ἐγένοντο·) μηδὲ ὅτι οὐ καὶ αἱ αὐταὶ ἡλικίαι. ὁ γὰρ Χείρωνος βίος πᾶσιν ἐξήρκει.

δ'. Ζεὺς γὰρ καὶ Χείρων ἀδελφοὶ, πατρὸς μὲν τοῦ αὐτοῦ, μητρὸς δὲ ὁ μὲν, Ῥέας· ὁ δὲ Ναΐδος νύμφης. ὥστε ἐγεγόνει μὲν πρότερος τούτων, ἐτελεύτησε δὲ ὕστερον, ἢ ὡς Ἀχιλλέα ἐπαίδευσεν.

ε'. Ἐκ δὲ τῆς ἐπιμελείας τῆς ἐκ τῶν κυνῶν, καὶ κυνηγεσιῶν, καὶ τῆς ἄλλης παιδείας πολὺ διενέγκοντες, κατὰ τὴν ἀρετὴν ἐθαυμάσθησαν.

ϛ'. Κέφαλος μὲν, καὶ ὑπὸ θεᾶς ἡρπάσθη· Ἀσκληπιὸς δὲ μειζόνων ἔτυχεν, ἀνιστάναι μὲν τεθνεῶτας, νοσοῦντας δὲ ἰᾶσθαι. διὰ δὲ ταῦτα θεὸς ὢν, παρ' ἀνθρώποις ἀείμνηστον κλέος ἔχει.

ζ'. Μελανίων δὲ τοσοῦτον ὑπερέσχε φιλοπονίᾳ ὥστε

ὧν

3. Neque vero miretur quiſpiam, eorum pleroſque, tametſi Diis accepti eſſent, nihilominus vivendi finem feciſſe. Hoc enim naturæ tribuendum. Magnæ quidem certe laudes ipſorum exſtiterunt. Nec item mirandum, quod eædem omnium ætates non fuerint. Nam vita Chironis horum omnium vitæ par fuit.

4. Jupiter enim & Chiro fratres fuere, nati quidem illi eodem patre: verum is matre Rhea, hic Nympha Naide. Quo factum ut hos omnes Chiro ætate præcederet; nec ſtatim mortuus ſit, poſteaquam Achillem inſtituiſſet.

5. Fuerunt autem hi propter virtutem magna hominum in admiratione, quum diligentia, quam in canibus, venationibus, aliiſque diſciplinis adhibebant, longe cæteris præſtarent.

6. Cephalus certe raptus à Diva fuit. Æſculapius majora conſequutus eſt, ut mortuos ſuſcitaret, ac morbis laborantes ſanaret. Atq; has ob res & Deus eſt, & apud homines gloriam nominis æternã obtinet.

7. Melanio tantum induſtria

præſtitit,

ῶν αὐτῷ ἀντεράσαι ἐγένοντο ὁ τότε ἄριστοι τῶν τότε μεγίστων γάμων, μόνος ἔτυχεν Αταλάντης. Νέστορος δὲ προδιελήλυθεν ἡ ἀρετὴ τῶν Ελλήνων τὰς ἀκοάς, ὥστε εἰδόσιν ἂν λέγοιμι.

η'. Αμφιάραος δὲ, ὅτε ἐπὶ Θήβας ἐστράτευσε, πλεῖστον κτησάμενος ἔπαινον, ἔτυχε παρὰ Θεῶν ἀεὶ ζῶν τιμᾶσθαι. Πηλεὺς δ' ἐπιθυμίαν παρέσχε καὶ Θεοῖς, δοῦναί τε Θέτιν αὐτῷ, καὶ τὸν γάμον παρὰ Χείρωνι ὑμνῆσαι.

θ'. Τελαμὼν δὲ τοσοῦτος ἐγένετο, ὥστε ἐκ μὲν πόλεως τῆς μεγίστης, ἣν αὐτὸς ἐβούλετο, γῆμαι Περίβοιαν τὴν Αλκάθου· ὅτε δὲ ὁ πρῶτος Ελλήνων ἐδίδου τὰ ἀριστεῖα Ηρακλῆς ὁ Διὸς, ἑλὼν Τροίαν, Ησιόνην αὐτῷ ἔδωκεν.

ι'. Μελέαγρος δὲ τὰς μὲν τιμὰς ἃς ἔλαβε, φανεραί· πατρὸς δ' ἐν γήρᾳ ἐπιλανθανομένου τῆς Θεοῦ, οὐχ αὐτοῦ αἰτίαις, ἐδυστύχησε. Θησεὺς δὲ τοὺς μὲν τῆς Ελλάδος ἐχθροὺς

præstitit, ut ei soli amplissimum id temporis Atalantæ conjugium obtigerit, in cujus petitione præstantissimos tunc rivales habuit. Nestoris virtus jam ante Græcorum aures pervagata est. Itaque scientibus eam commemoraturus essem.

8. Amphiaraus, expeditione adversus Thebas suscepta, maximam laudem adeptus, æternitatem & vitæ & honoris à Diis est consequutus. Peleus in ipsis etiam Diis id sui studium excitavit, ut Thetidem ei conjugem darent, ac nuptias ipsius apud Chironem celebrarent.

9. Tantus vir fuit Telamo, ut Periboeam Alcathoi filiam, quam expetebat, ex urbe maxima uxorem duceret: quumq; Græcorum princeps Hercules, Jovis filius, Troia capta virtutis quædam præmia largiretur, Hesionem ei dedit.

10. Quos Meleager honores adeptus sit, notum est: quod vero in calamitatem inciderit, id non ipsius culpa factum, sed patris; qui Divæ in senecta fuerat oblitus. Theseus Græciæ totius hostes

ἐχθροὺς πάσης μόνος ἀπώλεσε, τὴν δὲ αὐτοῦ πατρίδα πολλῷ μείζω ποιήσας, ἔτι καὶ νῦν θαυμάζεται.

ια΄. Ἱππόλυτος δὲ ὑπὸ μὲν τῆς Ἀρτέμιδος ἐτιμᾶτο, καὶ ἐν λόγοις ἦν, σωφροσύνῃ δὲ καὶ ὁσιότητι μακαρισθεὶς ἐτελεύτησε. Παλαμήδης δὲ ἕως μὲν ἦν, πολὺ τῶν ἐφ᾽ ἑαυτοῦ ὑπερέσχε σοφίᾳ· ἀποθανὼν δὲ ἀδίκως, τοσαύτης ἔτυχε τιμωρίας ὑπὸ θεῶν, ὅσης οὐδεὶς ἄλλος ἀνθρώπων. ἐτελεύτησε δὲ οὐχ ὑφ᾽ ὧν οἴονταί τινες. οὐ γὰρ ἂν ἦν ὁ μὲν σχεδόν τι ἄριστος, ὁ δὲ ὅμοιος ἀγαθοῖς. κακοὶ δὲ ἔπραξαν τὸ ἔργον.

ιβ΄. Μενεσθεὺς δὲ ἐκ τῆς ἐπιμελείας τῆς ἐκ τῶν κυνηγεσιῶν τοσοῦτον ὑπερέβαλε φιλοπονίᾳ, ὥστε ὁμολογεῖν τοὺς τῶν Ἑλλήνων πρώτους, ὑστέρους εἶναι τὰ εἰς τὸν πόλεμον, ἐκείνου, πλὴν Νέστορος. καὶ οὗτος οὐ προέχειν λέγεται, ἀλλὰ ἐρίζειν.

ιγ΄. Ὀδυσσεὺς δὲ καὶ Διομήδης λαμπροὶ μὲν καὶ καθ᾽ ἓν ἕκαστον, τὸ δὲ ὅλον αἴτιοι Τροίαν ἁλῶναι.

Κάστωρ

hostes solus delevit, patriaq; sua non parum amplificata, etiam nunc in hominum est admiratione.

11. Hippolytus in honore apud Dianam erat, & cum ea familiariter colloquebatur: tandem ob pudicitiam pietatemq; felix habitus, vivendi finem fecit. Palamedes dum vixit, longe sapientia sæculi sui mortales excelluit: quumq; injuste fuisset interemtus, sic ejus mortem ulti sunt Dii, ut alterius inter homines neminis. Occisus est autem non ab illis quos nonnulli arbitrantur: quod cæteroqui non exstitisset horum alter prope præstantissimus, alter vero par egregiis: sed homines improbi facinus hoc perpetrarunt.

12. Menestheus ex venationum studio tantum industria laborumq; tolerantia præstitit, ut Græcorum primi faterentur, eo se inferiores esse bellicis in rebus, extra unum Nestorem: qui quidem non excelluisse Menestheum dicitur, sed cum eo certasse.

13. Ulysses, ac Diomedes, singulis in actionibus illustres exstiterunt; & ad summam, ut Troia caperetur,

Κάστωρ δὲ καὶ Πολυδεύκης, ὅσα ἐπεδείξαντο ἐν τῇ Ελλάδι τὴν παρὰ Χείρωνος, διὰ τὸ ἀξίωμα τὸ ἐκ τούτων ἀθάνατοί εἰσι.

ιδ'. Μαχάων δὲ καὶ Ποδαλείειος παιδευθέντες τὰ αὐτὰ πάντα, ἐγένοντο καὶ τέχνας, καὶ λόγοις, καὶ πολέμοις ἀγαθοί. Αντίλοχος δὲ τοῦ πατρὸς ὑπεραποθανὼν, τοσαύτης ἔτυχεν εὐκλείας, ὥστε μόνος φιλοπάτωρ παρὰ τοῖς Ελλησιν ἀναγορευθῆναι.

ιε'. Αἰνείας δὲ σώσας μὲν τοὺς πατρῴους καὶ μητρῴους Θεοὺς, σώσας δὲ καὶ αὐτὸν τὸν πατέρα, δόξαν εὐσεβείας ἐξηνέγκατο, ὥστε καὶ οἱ πολέμιοι μόνῳ ἐκείνῳ, ὧν ἐκράτησαν ἐν Τροίᾳ, ἔδοσαν μὴ συληθῆναι.

ιϛ'. Αχιλλεὺς δ' ἐν ταύτῃ τῇ παιδείᾳ τραφεὶς, οὕτω καλὰ καὶ μεγάλα μνημεῖα παρέδωκεν, ὥστε οὔτε λέγων, οὔτε ἀκούων περὶ ἐκείνου οὐδεὶς ἀπαγορεύει.

ιζ'. Οὗτοι τοιοῦτοι ἐγένοντο ἐκ τῆς ἐπιμελείας τῆς παρὰ Χείρωνος. ὧν οἱ μὲν ἀγαθοὶ ἔτι καὶ νῦν ἐρῶσιν, οἱ δὲ κακοὶ

peretur, effecerunt. Castor & Pollux propter existimationem ex iis comparatam, quæ à Chirone percepta, passim in Græcia exhibuerunt, immortales facti sunt.

14. Machaon & Podalirius iisdem in rebus omnibus instituti, homines & in artibus, & in dicendo, & in bellis egregii exstiterunt. Antilochus pro patre morti sese objiciens, tantum gloriæ consequutus est: ut solus apud Græcos amans patris adpellatus fuerit.

15. Æneas paternis maternisque Diis una cum patre conservatis, pietatis gloriam tulit: eoque factum, ut etiam hostes illi soli inter omnes quibus Troia capta potiti fuerant, hoc concesserint, ut suis rebus non spoliaretur.

16. Achilles in hac educatus institutione, tam præclara magnaque monumenta sui excitavit; ut nec dicendo, nec audiendo de ipso quisquam satietur

17. Atque hi ex eo studio, quo à Chirone fuerunt exerciti, tales in viros evaserunt: qui quidem etiam nunc ab optimo quoque diliguntur, ignavis interim per invidiam eis

O

καὶ φθονοῦσιν. ὥστ' ἐν μὲν τῇ Ἑλλάδι, εἴ τῳ συμφοραὶ ἐγίγνοντο, ἢ πόλει, ἢ βασιλεῖ, ἐλύοντο * αὐτούς· εἰ δὲ πρὸς τοὺς βαρβάρους πάντας πάσῃ τῇ Ἑλλάδι νεῖκος ἢ πόλεμος, διὰ τούτους οἱ Ἕλληνες ἐκράτουν, ὥστε ἀνίκητον τὴν Ἑλλάδα παρέχειν.

ΚΕΦ. β'.

ΕΓΩ μὲν οὖν παραινῶ τοῖς νέοις μὴ καταφρονεῖν κυνηγεσίων, μηδὲ τῆς ἄλλης παιδείας. ἐκ τούτων γὰρ γίγνονται τὰ εἰς τὸν πόλεμον ἀγαθοί, εἴς τε τὰ ἄλλα, ἐξ ὧν ἀνάγκη καλῶς νοεῖν, καὶ λέγειν, καὶ πράττειν.

β'. Πρῶτον μὲν οὖν χρὴ ἐλθεῖν ἐπὶ τὸ ἐπιτήδευμα τὸ τῶν κυνηγεσίων τὸν ἤδη ἐκ παιδὸς ἀλλάττοντα τὴν ἡλικίαν, εἶτα δὲ καὶ ἐπὶ τὰ ἄλλα * παιδεύματα· τὴν μὲν ἔχοντα, σκεψάμενον τὴν οὐσίαν, ᾧ μέν ἐστιν ἱκανὴ ἀξίως τῆς αὐτοῦ ὠφελείας· ᾧ δὲ μή ἐστιν, ἀλλ' οὖν τήν γε προθυμίαν παρεχέσθω, μηδὲν ἐλλείπων τῆς ἑαυτοῦ δυνάμεως. γ'. Ὅσα

eis obtrectantibus. In Græcia quidem certe si cui vel civitati vel regi calamitas accidisset, ab ea per hos liberabantur: sin universæ Græciæ vel contentio, vel bellum adversus barbaros universos esset, per hos ipsos Græci victoria potiebantur: quo factum ut per eos Græcia reddita sit invicta.

CAP. II.

QUapropter juvenes equidem moneo, ut neque venationes, neq; disciplinas alias contemnant. Nam ex iis egregie ad bellum aliasque res apti fiunt: de quibus hoc consequi hominem necesse est, ut præclare tum animo consideret omnia, tum dicat, tum gerat.

2. Ac primum quidem ad studium hoc venationum accedere debet is qui jam è pueris excedit, deinde ad cæteras quoque disciplinas honoratas se conferat: sic tamen, ut facultatum ratio habeatur, num quis ad usum suum satis magnas habeat. Sin autem, saltim alacritatem animi adferat, ac nihil omittat eorum quæ præstare potest.

3. Quot

γ'. Ὅσα δὲ, καὶ οἷα δεῖ παρεσκευασμένον ἐλθεῖν ἐπ' αὐτὸ, φράσω καὶ αὐτὰ, καὶ τὴν ἐπιστήμην ἑκάστου, ἵνα προειδὼς ἐγχειρῇ τῷ ἔργῳ. καὶ μηδεὶς αὐτὰ φαῦλα νομισάτω εἶναι. ἄνευ γὰρ δὴ τούτων, οὐκ ἂν εἴη πρᾶξις.

δ'. Χρὴ δὲ τὸν μὲν ἀρκύων ἐπιθυμοῦντα τοῦ ἔργου, εἶναι τὴν φωνὴν Ἕλληνα, τὴν δὲ ἡλικίαν περὶ ἔτη εἴκοσι· τὸ δὲ εἶδος, ἐλαφρὸν, ἰσχυρόν· ψυχὴν δὲ ἱκανὸν, ἵνα τῶν πόνων τούτοις κρατῶν χαίρῃ τῷ ἔργῳ. τὰς δὲ ἄρκυς Φασιανοῦ ἢ Καρχηδονίου λεπτοῦ λίνου, καὶ τὰ ἐνόδια, καὶ τὰ δίκτυα.

ε'. Ἔστωσαν δὲ αἱ μὲν ἄρκυες ἐννεάλινοι, τὸ δὲ μέγεθος πεντεσπίθαμοι, διπάλαιστοι δὲ τοὺς βρόχους. ὑφείσθωσαν δὲ τοὺς περιδρόμους ἀναμμάτους, ἵνα εὔτροχοι ὦσι.

ϛ'. Τὰ δὲ ἐνόδια δωδεκάλινα, τὸ δὲ μέγεθος τὰ μὲν ἐνόδια, διόργυια, τετρόργυια, πεντόργυια, τὰ δὲ

3. Quot autem, quibusque rebus instructus, ad hæc debeat accedere, dicam; ac prætcrea cujusq; disciplinam, ut his præcognitis, ita deinde opus ipsum adgrediatur. Neq; vero vulgaria quis hæc, exiguique momenti ducat: quum absque iis res ipsa peragi nequeat.

4. Necesse est, eum qui retium studio teneatur, lingua esse Græcum, ætate annorum plus minus viginti, forma corporis agilem & robustum, animo satis parato, ut per hæc superatis laboribus, ipso ex opere delectationem capiat. Retia de Phasiano, vel Carthaginiensi lino tenui, facta esse debent; itemque casses ad vias collocatæ, ac plagæ majores.

5. Constent autem retia de filis novem, & magnitudinem habeant spithamarum quinque, laquei palmos duos æquent. Margines sive circuitores plagarum enodes relinquantur, ut moveri facile possint.

6. Casses ad itinera collocatæ filorum sint duodecim, quæ quidem ad ulnarum duarum, vel quatuor, vel quinque spatium exten-

δὲ δίκτυα, δεκόργυα, εἰκοσόργυα, τριακοντόργυα. ἐὰν δὲ ᾖ μείζω, δυσμεταχείριστα ἐστιν. ἀμφότερα δὲ τριακοντάμματα, καὶ τῶν βρόχων τὸ διάστημα ἴσον ταῖς ἄρκυσιν.

ζ'. Ἐν δὲ τοῖς ἀκρωλενίοις τὰ μὲν ἐνόδια ἐχέτω μαστοὺς, τὰ δὲ δίκτυα, δακτυλίους· τοὺς δὲ περιτρόφους, ἀπὸ στροφείων.

η'. Αἱ δὲ σχαλίδες μὲν τῶν ἀρκύων τὸ μῆκος δέκα παλαιστῶν, ἔστωσαν δὲ καὶ ἐλάττους· (αἱ μὲν ἄνισοι αὐτῶν ἐν τοῖς ἐπεγκλινέσι τῶν χωρίων εἰς ἴσα τὰ ὕψη ἐξαίρωσιν, ἐν δὲ τοῖς ὁμαλέσιν αἱ ἴσαι. αὗται δ' εὐπερίσπαστοι, τὰ ἄκρα καὶ αὗται λεῖαι·) τῶν δὲ ἐνοδίων, διπλάσιαι· αἱ δὲ τῶν δικτύων τὸ μὲν μέγεθος πεντασπίθαμοι, δικρᾶ ἔχουσαι μικρὰ, τὰ ἐντμήματα μὴ βαθέα. εὐπαγεῖς δὲ πᾶσαι, καὶ μὴ ἀσύμμετροι τὰ πάχη πρὸς τὰ μήκη.

θ'. Τῷ δὲ πλήθει τῶν σχαλίδων οἷόν τε ἐστι χρῆσθαι

πρὸς

extendantur: majores vero plagæ ad ulnas decem, viginti, triginta. Quod si majora fuerint, tractari non facile poterunt. Utraque nodos habeant trignita, laqueorumq; par sit intervallum, ut in retibus.

7. In summis limbis eæ casses, quæ in viis collocantur, mammillas, quas vocant, habeant: majores plagæ anulos: circumactores de funiculis tortis conficiantur.

8. Furculæ retium longitudine palmos decem æquent, nonnullæ minores sint. Harum quæ inæquales sunt, in locis ex altera parte declivibus æquales ad altitudines retia tollant: æquales autem, in locis planis adhibeantur. Atque hæ quidem in summo læves sint, & circumflecti facile debent. Furculæ cassium ad vias collocatarum duplo sint majores. Plagarum deniq; furculæ, quibus feræ grandiores capiuntur, magnitudine quinque spithamas æquent; & partes illas bifidas parvas habeant, neque profunde incisas. Omnes tamen firmæ sint, atque ita factæ, ut spissitudo longitudini respondeat.

9. Furculis ad retia vel multis

vel

πρὸς τὰ δίκτυα πολλῶν, καὶ ὀλίγων· ἐλάττονι μὲν ἂν σφόδρα τείνηται ἐν τῇ στάσει· πλέονι δ', ἂν ἡσυχῇ.

ι'. Ἔστω δὲ καὶ ἐν ὅτῳ ἔσονται αἱ ἄρκυς καὶ τὰ δίκτυα ἐν ἑκατέροις, κυνοῦχος μόσχειος, καὶ τὰ δρέπανα· ἵνα ᾖ τῆς ὕλης τέμνοντα φράττειν τὰ δεόμενα.

ΚΕΦ. γ'.

Τὰ δὲ γένη τῶν κυνῶν ἐστι διττά· αἱ μὲν, καστόρειαι, αἱ δὲ, ἀλλωπεκίδες. ἔχουσι δ' αἱ μὲν Καστόρειαι τὴν ἐπωνυμίαν ταύτην, ὅτι Κάστωρ ἡσθεὶς τῷ ἔργῳ, μάλιστα αὐτὰς διεφύλαξεν· αἱ δ' ἀλλωπεκίδες, διότι ἐκ κυνῶν τε καὶ ἀλλωπέκων ἐγένοντο· ἐν πολλῷ δὲ χρόνῳ συγκέκραται αὐτῶν ἡ φύσις.

β'. Χείρους δὲ καὶ πλείους αἱ τοιαίδε, μικραί, γρυπαί, χαροποί, μυωποί, αἰσχραί, σκληραί, ἀσθενεῖς, ψιλαί, ὑψηλαί, ἀσύμμετροι, ἄψυχοι, ἄρρινες, οὐκ εὔποδες.

γ'. Αἱ

vel paucis uti licet: paucis, quum vehementer, dum consistunt, extenduntur: pluribus, quum remissius.

10. Adsint etiam, quo includantur, tam retia quam plagæ, culleus è corio vitulino, itemque falces: ut cæsa materia, quædam obstrui, prout usus postulat, possint.

CAP. III.

Canum genera duo sunt. Aliæ castoriæ, aliæ vulpinæ. Castoriis inditum hoc cognomentum, quod Castor ex venandi labore voluptatem capiens, eas potissimum apud se retinuerit: vulpinis, quod ex canibus & vulpeculis natæ sint, earum natura temporis diuturnitate tandem plane commista.

2. Hæ & deteriores, & plures sunt, exiguæ, naribus aduncis, oculis fulvis, lusciosæ, deformes, rigidæ, debiles, pilis rarioribus, proceræ, proportione corporis non concinna, non animosæ, naribus idoneis destitutæ, vitiosæ pedibus.

3. Ac

γ'. Αἱ μὲν οὖν μικραὶ πολλάκις ἐκ τῶν κυνηγεσίων ἀποστεροῦνται τῆς ἐργασίας, διὰ τὸ μικρόν. αἱ δὲ γρυπαὶ, ἄστομοι, καὶ διὰ τοῦτο οὐ κατέχουσι τὸν λαγῶ. μυωποὶ δὲ καὶ χαροποὶ χείρω τὰ ὄμματα ἔχουσιν, ἄμορφοι δὲ, καὶ αἰσχραὶ ὁρᾶσθαι. αἱ δὲ σκληραὶ τὰ εἴδη, χαλεπῶς ἀπὸ τῶν κυνηγεσίων ἀπαλλάττουσι. πονεῖν δὲ ἀδύνατοι αἱ ἀσθενεῖς, καὶ αἱ ψιλαί. καὶ ὑψηλαὶ, καὶ ἀσύμμετροι, ἀσύντακτα ἔχουσαι τὰ σώματα, βαρέως διαφοιτῶσιν. αἱ ἄψυχοι δὲ λείπουσι τὰ ἔργα, καὶ ἀφίστανται τὸν ἥλιον ὑπὸ τὰς σκιὰς, καὶ κατακλίνονται. αἱ δὲ ἄρινες, μόλις καὶ ὀλιγάκις αἰσθάνονται τοῦ λαγῶ. αἱ δὲ ἄποδες, οὐδ' ἐὰν ὦσιν εὔψυχοι, τοὺς πόνους δύνανται ἀνέχεσθαι, ἀλλ' ἀπαγορεύουσι διὰ τὸ ἄλγος τῶν ποδῶν.

δ'. Εἰσὶ δὲ καὶ τῆς ἰχνεύσεως πολλοὶ τρόποι ἐκ τῶν αὐτῶν κυνῶν. αἱ μὲν γὰρ ἐπειδὰν λάβωσι τὰ ἴχνη, πορεύονται ἀσήμως, ὥστε μὴ γιγνώσκεσθαι, ὅτι ἰχνεύουσιν. αἱ δὲ τὰ ὦτα μόνον διακινοῦσι, τὴν δὲ οὐρὰν ἡσυχῆ ἔχου-

3. Ac exiguæ quidem ob parvitatem, ſæpenumero in venationibus operam perdunt: quibus naſus aduncus eſt, ore idoneo deſtituuntur, ac propterea leporem retinere nequeunt: luſcioſæ fulviſq; præditæ oculis, deteriores habent oculos; deformes, adſpectu turpes ſunt: rigidæ, difficulter è venationibus digrediuntur: debiles, ac pilos habentes rariores, tolerare labores nequeunt: quibus altiora, nec proportione ſatis ſunt concinna corpora, gravate diſcurſitant: non animoſæ, labores relinquunt, ex ſole ſub umbras ſe recipiunt, humi procumbunt: quæ nares bonas non habent, vix ac raro lepores ſentiunt: quibus pedes vitioſi ſunt, etiamſi ſint animoſæ, labores tamen perferre nequeunt, adeoque propter pedum dolorem deficiunt.

4. Veſtigationis per eoſdem canes modi complures ſunt. Etenim nonnullæ quum veſtigia deprehenderunt, nullo de ſe indicio dato pergunt; ut non animadvertatur, inveſtigationi eſſe intentas. Aliæ movent ſolas aures, cauda non

ἔχουσιν· αἱ δὲ τὰ ὦτα μὲν ἀκίνητα ἔχουσιν, *ἄκρᾳ δὲ τῇ οὐρᾷ σείουσιν.

ε΄. Ἄλλαι δὲ συνάγουσι τὰ ὦτα, καὶ ἐπισκυθρωπάσασαι διὰ τοῦ ἴχνους, χάσασαι τὴν οὐρὰν καὶ φράξασαι, διατρέχουσι. πολλαὶ δὲ τούτων μὲν οὐδὲν ποιοῦσι, μανικῶς δὲ περιφερόμεναι ὑλακτοῦσι περὶ τὰ ἴχνη, ὅτε εἰσπίπτουσιν εἰς αὐτά, ἀφρόνως καταπατοῦσαι τὰς αἰσθήσεις.

ϛ΄. Εἰσὶ δὲ, αἱ κύκλοις πολλοῖς χρώμεναι καὶ πλάνοις, ὑπολαμβάνουσαι ἐκ τοῦ πρόσθεν τὰ ἴχνη, παραλείπουσι τὸν λαγώ· ὁσάκις δ' ἐπιτρέχουσι τὰ ἴχνη, εἰκάζουσι· προορώμεναι δὲ τὸν λαγὼ, τρέμουσι, καὶ οὐκ ἐπέρχονται πρὶν ἴδωσιν ὑποκινοῦντα.

ζ΄. Ὅσαι δὲ τὰ τῶν ἄλλων κυνῶν εὑρήματα ἐν ταῖς ἰχνείαις καὶ μεταδρομαῖς προθέουσαι, θαμινὰ σκοποῦσαι, ἑαυταῖς ἀπίστως ἔχουσι. θρασεῖαι δὲ, αἱ οὐκ ἐῶσι τῶν συνεργῶν τὰς σοφὰς εἰς τὸ πρόσθεν ἰέναι, ἀλλ' ἀνείργουσι θορυβοῦσαι. αἱ δὲ, ἀσπαζόμεναι τὰ ψευδῆ, καὶ ὑπερλαμπρυνόμεναι ἐφ'

non mota. Aliis aures immotæ manent, extrema tantum cauda nonnihil quassata.

5. Aliæ contrahunt aures, ac vultu tristi per vestigium defixo, caudaque demissa & inter crura condita, discurrunt. Multæ nihil horum faciunt, sed insano more vestigia circumlatrantes obeunt, quum in ea inciderint, ac indicia temere conculcant.

6. Sunt quæ multis ambagibus & erroribus utentes, dum suspicantur antrorsum tendere vestigia, leporem relinquunt: & quoties ad vestigia accurrunt, conjecturam faciunt: sed ubi leporem vident, trepidant; nec prius invadunt, quam illum se loco movere conspexerint.

7. Quæ vero indagando & transcurrendo aliorum canum inventa præcipiunt, hæ frequenter respicientes, sibi ipsæ non credunt. Feroces vero sunt, quæ peritas venationis socias progredi non sinunt, sed cum strepitu eas repellunt. Aliæ vestigiis falsis inhærent, & quidquid tandem sit in quod inciderint, nimia

ἐφ' ὅτῳ ἂν τύχωσι, προάγουσι, συνειδυῖαι ἑαυταῖς, ὅτι ἐξαπατῶσιν. αἱ δ', οὐκ εἰδυῖαι, τὸ αὐτὸ ποιοῦσι ταύταις. φαῦλαι δὲ, αἱ οὐκ ἀπαλλαττόμεναι ἐκ τῶν τετριμμένων, τὰ ὀρθὰ οὐ γιγνώσκουσαι.

η'. Ὅσαι δὲ τῶν κυνῶν τὰ ἴχνη τὰ μὲν εὐναῖα ἀγνοοῦσι, τὰ δὲ δρομαῖα ταχὺ διατρέχουσιν, οὐκ εἰσὶ γνήσιαι. διώκουσι δὲ αἱ μὲν ἀρχόμεναι σφόδρα, διὰ δὲ μαλακίαν ἀνιᾶσιν· αἱ δὲ ὑποθέουσιν, εἶτα ἁμαρτάνουσιν· ἕτεραι δὲ ἀνοήτως ἐμπίπτουσαι εἰς τὰς ὁδοὺς ἁμαρτάνουσι, τὸ ἀνήκουστον πολὺ ἔχουσαι.

θ'. Πολλαὶ δὲ τὰ διώγματα ἀφιεῖσαι ἐπανέρχονται διὰ τὸ μισόθηρον, πολλαὶ δὲ διὰ τὸ φιλάνθρωπον. αἱ δ' ἐκ τῶν ἰχνῶν κεκραγυῖαι ἐξαπατᾶν πειρῶνται, ἀληθῆ τὰ ψευδῆ ποιοῦμεναι.

ι'. Εἰσὶ δὲ, αἳ τοῦτο μὲν οὐ ποιοῦσι, μεταξὺ δὲ θέουσαι, ἄν ποθεν ἀκούσωσι κραυγῆς, καταλείπουσαι τὰ αὐτῶν ἔργα, ἀπρονοήτως ἐπὶ τοῦτο φέρονται. μεταθέουσι γὰρ αἱ μὲν ἀσαφῶς,

nimia cum oſtentatione procurrunt, ſuæ ſibi fraudis conſciæ. Quædam hoc idem faciunt inſciæ. Nullius pretii ſunt, quæ nuſquam tritis è tramitibus declinant, veſtigia recta ignorantes.

8. At quæcunque canes veſtigia cubilium ignorant, curſu vero impreſſa celeriter percurrunt, non ſunt indolis bonæ. Rurſum pars ab initio vehementes in perſequendo, præ mollitie deinde remittunt: pars in curſu ſequuntur alias, ac deinde aberrant: quædam in vias ſtulte incidunt aberrantque, & revocantes haudquaquam facile exaudiunt.

9. Multæ ferarum odio, pleræque hominum deſiderio, perſequutione omiſſa, recurrunt. Nonnullæ ex veſtigiis latratu abducere tentant, pro veris falſa ſimulantes.

10. Sunt quæ hoc non faciunt, ſed inter currendum, ſicunde clamorem audierint, ad hunc relicto labore ſuo temere feruntur. Et aliæ quidem ex nulla certa conjectura curſum mutant, pleræque

ἀσαφῶς, αἱ δὲ πολὺ ὑπολαμβάνουσαι, δοξάζουσαι δὲ ἕτεραι, αἱ δὲ πεπλασμένως, φθονερῶς δὲ ἄλλαι ἐκκινοῦσι παρὰ τὸ ἴχνος, διὰ τέλους συμπεριφερόμεναι.

ια΄. Τὰ μὲν οὖν πλεῖστα τούτων φύσει ἔχουσι, τὰ δὲ ἠγμέναι ἀνεπιστημόνως, δύσχρηστοί εἰσιν. αἱ τοιαῦται μὲν οὖν κύνες ἀποτρέψειαν ἂν τοὺς ἐπιθυμοῦντας κυνηγεσίων. οἵας δὲ δεῖ εἶναι τοῦ αὐτοῦ γένους τά τε εἴδη καὶ τὰ ἄλλα, φράσω.

ΚΕΦ. δ΄.

Πρῶτον μὲν οὖν χρὴ εἶναι μεγάλας, εἶτα ἐχούσας τὰς κεφαλὰς ἐλαφράς, σιμάς, ἀρθρώδεις, ἰνώδη τὰ κάτωθεν τῶν μετώπων· ὄμματα μετέωρα, μέλανα, λαμπρά· μέτωπα μεγάλα καὶ πλατέα· τὰς διακρίσεις βαθείας· ὦτα μικρά, λεπτά, ψιλὰ ὄπισθεν· τραχήλους μακρούς, ὑγρούς, περιφερεῖς· στήθη πλατέα, μὴ ἄσαρκα, ἀπὸ τῶν ὤμων τὰς ὠμοπλάτας διεστώσας μικρόν· σκέλη τὰ πρόσθια,

pleræque multum ſibi promittentes, aliæ quadam ex opinione, nonnullæ per ſimulationem, aliæ per invidiam ſic à veſtigio recedunt, ut ſemper alias ſectentur.

11. Hæc vero vitia pleraque canibus inſunt à natura, ad nonnulla vero quod educentur inſcite, parum utiles evadunt. Et hujuſmodi quidem canes, ſtudioſos etiam venationis homines avertere poſſint. Quales autem ejuſdem generis eſſe debeant, quod formas adtinet, & alia ejuſmodi, dicam.

CAP. IV.

PRimum igitur magnas eſſe oportet, deinde levia habere capita, ſima, nervoſa, inferiori frontis parte fibroſa; oculos ſublimes, nigros, claros; magnas frontes, ac latas; diſcrimina profunda; parvas aures ac tenues, poſteriore parte glabras; cervices longas, molles, ac flexiles; pectora lata, non macilenta; ſcapulas ab humeris parum diſtantes; anteriora crura, parva, recta,

πρόσθια, μικρά, ὀρθά, στρογγύλα, στιφρά· τοὺς ἀγκῶνας, ὀρθούς· πλευρὰς μὴ ἐπίπαν βαθείας, ἀλλ' εἰς τὸ πλάγιον παρηκούσας· ὀσφῦς σαρκώδη, τὰ μεγέθη μεταξὺ μακρῶν, βραχέων· μήτε ὑγρὰς λίαν, μήτε σκληρὰς λαγόνας, μεταξὺ μεγάλων, μικρῶν· ἰσχία στρογγύλα, ὄπισθεν σαρκώδη, ἄνωθεν δὲ μὴ συνδεδεμένα, ἔνδοθεν δὲ περιεσταλμένα· τὰ κάτωθεν τῶν κενεώνων λαγαρά, καὶ αὐτοὺς τοὺς κενεῶνας· οὐρὰς μακράς, ὀρθάς, λιγυράς· μηριαίας, μὴ σκληράς· ὑποκώλια μακρά, περιφερῆ, εὐπαγῆ· σκέλη πολὺ μείζω τὰ ὄπισθεν τῶν ἔμπροσθεν, καὶ * περικνά· πόδας περιφερεῖς.

β'. Καὶ ἐὰν ὦσι τοιαῦται αἱ κύνες, ἔσονται ἰσχυραί, τὰ εἴδη ἐλαφραί, σύμμετροι, ποδώκεις, καὶ ἀπὸ τῶν προσώπων φαιδραὶ καὶ εὔστομοι.

γ'. Ἰχνευέτωσαν δ' ἐκ τῶν τριμμένων ταχὺ ἀπαλλαττόμεναι, τιθεῖσαι τὰς κεφαλὰς ἐπὶ γῆν λεχρίας, ἐμμειδιῶσαι μὲν πρὸς τὰ ἴχνη, ἐπικαταβάλλουσαι δὲ τὰ ὦτα, τὰ μὲν ὄμματα πυκνὰ διακινοῦσαι, ταῖς δὲ οὐραῖς δια-

σαίνουσαι

recta, teretia, firma; flexus crurum, rectos; latera non admodum profunda, sed in obliquum tendentia; lumbos carnosos, magnitudine media inter ea quæ longa & brevia sunt; ilia nec valde mollia, nec rigida, inter magna & parva; coxas teretes, posterius carnosas, superius non connexas, interius contractas; inferiora ventris, cum ipso ventre, laxa: caudas longas, rectas, flexiles; femora, non dura; partes femoribus subjectas longas, teretes, satis spissas; posteriora crura prioribus multo grandiora, & superiori parte incurva; pedes rotundos.

2. Quod si canes hujusmodi fuerint, robustæ erunt, specie agiles, aptæ proportionis, celeres, & elegantes adspectu, oreque idoneo.

3. Sed ita vestigent, ut tritis hominum tramitibus celeriter excedant, capita terræ obliqua admoventes, ad vestigia subrideant, aurésque demittant, oculos hinc inde crebro moveant, & caudis blandientes, multis in utrum-

σαίνουσαι κύκλους πολλοὺς περὶ τὰς πλευρὰς περιίτωσαν ὁμοῦ διὰ τοῦ ἴχνους ἅπασαι.

δ΄. Ὅταν δὲ περὶ αὐτὸν ὦσι τὸν λαγὼ, δῆλον ποιείτωσαν τῷ κυνηγέτῃ θᾶττον φοιτῶσαι μᾶλλον, γνωρίζουσαι ἀπὸ τοῦ θυμοῦ, ἀπὸ τῆς κεφαλῆς, ἀπὸ τῶν ὀμμάτων, ἀπὸ τῆς μεταλλάξεως τῶν σημάτων, καὶ ἀπὸ τῶν ἀναβλεμμάτων, καὶ ἐμβλεμμάτων, τῶν ἐπὶ τὰς καθέδρας τοῦ λαγὼ, καὶ ἀπὸ τῶν εἰς τὸ πρόσθεν, καὶ ὄπισθεν, καὶ εἰς τὸ πλάγιον διαῤῥιμμάτων, καὶ ἀπὸ τοῦ ἀληθῶς ἤδη αἰωρεῖσθαι τὴν ψυχὴν, καὶ ὑπερχαίρειν, ὅτι τοῦ λαγὼ ἐγγύς εἰσι.

ε΄. Διωκέτωσαν δὲ ἐῤῥωμένως, καὶ μὴ ἐπανιεῖσαι, σὺν πολλῇ κλαγγῇ καὶ ὑλαγμῷ, συνεκπερῶσαι μετὰ τοῦ λαγὼ πάντῃ. μεταθείτωσαν δὲ ταχὺ, καὶ λαμπρῶς, πυκνὰ μεταφερόμεναι, καὶ ἐπανακλαγγάνουσαι δικαίως, πρὸς δὲ τὸν κυνηγέτην μὴ ἐπανίτωσαν λιποῦσαι τὰ ἴχνη.

ϛ΄. Μετὰ δὲ τοῦ εἴδους, καὶ τοῦ ἔργου τούτου, εὔψυχοι ἔστωσαν, καὶ εὔποδες, καὶ εὔρινες, καὶ εὔτριχες. εὔψυχοι μὲν οὖν ἔσονται, ἐὰν

utrumque latus ambagibus per veſtigia ſimul omnes progrediantur.

4. Sed ubi ad leporem ipſum acceſſerint, tum vero id venatori ſignificent curſitando celerius, atque idem indicantes ipſo motu animi, capite, oculis, mutatione ſignorum ac indiciorum; acie modo ſurſum, modo in leporis ſeſſionem directa; retrorſum in tranſverſa; diverſo impetu in anteriora, & reabſe jam arrigendo animum, ac geſtiendo, quod à lepore non procul abſint.

5. Totis autem viribus perſequantur, nec remittant, haud abſque ingenti clamore ac latratu ipſo cum lepore qualibet evadentes; ac veloci ſplendidoque curſu eum premant, identidem proruendo, juſtaque de cauſſa latratu altiori utendo; nec tamen ad venatorem, omiſſis veſtigiis, redeant.

6. Præter hanc ſpeciem, & hanc venandi rationem, requiritur ut animoſæ ſint, & pedibus, & naribus, & pilis bonis inſtructæ. Animoſæ erunt, ſi vena-

ἐὰν μὴ λίπωσι τὰ κυνηγέσια, ὅταν ᾖ πνίγη· εὔρινες δέ, ἐὰν τοῦ λαγὼ ὀσφραίνωνται ἐν τόποις ψιλοῖς, ξηροῖς, προσηλίοις, τοῦ ἄστρου ἐπιόντος· εὔποδες δέ, ἐὰν τῇ αὐτῇ ὥρᾳ μὴ καταρρηγνύωνται αὐτῶν οἱ πόδες τὰ ὄρη θεουσῶν· εὔτριχες δέ, ἐὰν ἔχωσι λεπτὴν, καὶ πυκνὴν, καὶ μαλακὴν τὴν τρίχα.

ζʹ. Τὰ δὲ χρώματα οὐ χρὴ εἶναι τῶν κυνῶν οὔτε πυρρά, οὔτε μέλανα, οὔτε λευκὰ παντελῶς. ἔστι γὰρ οὐ γενναῖον τοῦτο, ἀλλ' ἁπλοῦν καὶ θηριῶδες.

ηʹ. Αἱ μὲν οὖν πυρραὶ ἔχουσαι ἔστωσαν λευκὴν τρίχα ἐπανθοῦσαν περὶ τὰ πρόσωπα, καὶ αἱ μέλαιναι· αἱ δὲ λευκαί, πυρράν· ἐπὶ δὲ ταῖς μηριαίαις ἄκραις τρίχας ὀρθάς, βαθείας, καὶ ἐπὶ ταῖς ὀσφύσι καὶ ταῖς οὐραῖς κάτω, ἄνωθεν δὲ μετρίας.

θʹ. Ἄγειν δὲ ἄμεινον τὰς κύνας τὰ ὄρη πολλάκις, τὰ δὲ ἔργα ἧττον. τὰ μὲν γὰρ ὄρη οἷόν τε ἐπὶ καὶ ἰχνεύειν καὶ μεταθεῖν καθαρῶς, τὰ δὲ ἔργα οὐδέτερα, διὰ τοὺς τριμμούς.

ιʹ. Ἔστι δὲ καὶ ἄνευ τοῦ εὑρίσκειν τὸν λαγὼ ἀγαθὸν

venationem æstu incumbente non deserant: narium bonarum, si leporem nudis in locis, aridis, apricis, & sub accessum sideris odoratu deprehendant: bonis præditi pedibus, si eodem anni tempore, dum montes percurrunt, pedes eorum non findantur: pili boni, si quidem is & subtilis sit, & spissus, & mollis.

7. At colore canes esse oportet minime rufo, neque nigro, neque candido prorsus. Quippe non index hic indolis generosæ, sed vulgaris ac ferinæ.

8. Si rufi nigrive coloris fuerint, villos candidos; si candidi, rufos habeant, circum frontem nitentes. In summis femorum partibus pilos habeant rectos & longos, itemque in lumbis & cauda infima; superius autem, mediocres.

9. Satius autem fuerit, per montes sæpe, per rura ducere canes rarius. Nam montes pervestigari possunt, & absque impedimentis hinc inde liquido percurri: quum tramitum caussa neutrum cultis in locis fieri possit.

10. Quinetiam si maxime lepus aliquis

θὸν ἄγειν τὰς κύνας τὰ τραχέα. καὶ γὰρ εὔποδες γίγνονται, καὶ τὰ σώματα διαπονοῦσαι ἐν τόποις τοιούτοις ὠφελοῦνται.

ια'. Ἀγέσθωσαν δὲ θέρους μὲν, μέχρι μεσημβρίας· χειμῶνος δὲ, δι' ἡμέρας· μετοπώρου δ', ἔξω μεσημβρίας· ἐντὸς δὲ ἑσπέρας, τὸ ἔαρ. ταῦτα γὰρ μέτρια.

ΚΕΦ. ε'.

ΤΑ δὲ ἴχνη τοῦ λαγὼ τοῦ μὲν χειμῶνος μακρά ἐστι, διὰ τὸ μῆκος τῶν νυκτῶν· τοῦ δὲ θέρους, βραχέα, διὰ τὸ ἐναντίον. χειμῶνος μὲν οὖν πρωῒ οὐκ ὄζει αὐτῶν, ὅταν πάχνη ᾖ, ἢ παγετός. ἡ μὲν γὰρ πάχνη τῇ αὑτῆς ἰσχύϊ ἀντισπάσασα τὸ θερμὸν ἔχει ἐν αὑτῇ, ὁ δὲ παγετὸς, ἐπιπήξας.

β'. Καὶ αἱ κύνες μαλακιῶσαι τὰς ῥῖνας οὐ δύνανται αἰσθάνεσθαι, ὅταν ᾖ τοιαῦτα, πρὶν ἂν ὁ ἥλιος διαλύσῃ αὐτὰ, ἢ προϊοῦσα ἡ ἡμέρα. τότε δὲ καὶ αἱ κύνες ὀσφραίνονται, καὶ αὐτὰ ἐπαναφερόμενα ὄζει.

γ'. Ἀφανίζει

aliquis haud inveniatur, tamen per aſpera loca ducere canes prodeſt; quum pedes hinc bonos conſequantur, & corpora in hujuſmodi locis exercentes, meliores evadant.

11. Ducantur autem æſtate, uſque ad meridiem: hyeme, per totum diem: autumno, extra meridiem: vere, intra veſperam. Ineſt enim his mediocritas.

CAP. V.

CÆterum leporis veſtigia procul hyeme ſe porrigunt, quia longæ ſunt noctes; parum autem æſtate, ob rationem contrariam. Nec vero hyeme olent diluculo, quum pruina fuerit, aut gelu. Pruina enim vi ſua calorem in ſe contrahens, intra ſe retinet: gelu autem denſat.

2. Quæ quum acciderint, ob teneritatem narium canes prius ſentire non poſſunt, quam ſol dieſve procedens, ea ſolvat. Tunc & canes olfaciunt, & ipſa veſtigia dum evaporant, redolent.

3. Delet

γ'. Ἀφανίζει δὲ καὶ ἡ πολλὴ δρόσος καταφέρουσα αὐτά. καὶ οἱ ὄμβροι, οἱ γιγνόμενοι διὰ χρόνου, ὀσμὰς ἄγοντες τῆς γῆς, ποιοῦσι δύσοσμον, ἕως ἂν ψυχθῇ. χείρω δὲ καὶ τὰ νότια ποιεῖ. ὑγραίνοντα γὰρ διαχεῖ· τὰ δὲ βόρεια ἐὰν ᾖ ἄλυπα, συνίστησι καὶ σώζει.

δ'. Οἱ δὲ ὑετοὶ καταχλύζουσι, καὶ αἱ ψεκάδες· καὶ ἡ σελήνη ἀμαυροῖ τῷ θερμῷ, μάλιστα δὲ ὅταν ᾖ πανσέληνος, καὶ μανότατα τότε. χαίροντες γὰρ τῷ φέγγει, ἐπαναῤῥιπτοῦντες μακρὰ διαιροῦσιν ἀντιπαίζοντες. ταραχώδη δὲ, ὅταν ἀλώπεκες προδιεξέλθωσι, γίγνεται.

ε'. Τὸ δὲ ἔαρ κεκραμένον τῇ ὥρᾳ καλῶς παρέχει τὰ ἴχνη λαμπρά, πλὴν εἴ τι ἡ γῆ ἐξανθοῦσα βλάπτει τὰς κύνας, εἰς τὸ αὐτὸ συμμιγνῦσα τῶν ἀνθῶν τὰς ὀσμάς· λεπτὰ δὲ, καὶ ἀσαφῆ τοῦ θέρους. διάπυρος γὰρ οὖσα ἡ γῆ ἀφανίζει τὸ θερμὸν, ὃ ἔχουσιν. ἔστι γὰρ λεπτόν, καὶ αἱ κύνες ἧττον ὀσφραίνονται τότε, διὰ τὸ ἐκλελύσθαι τὰ σώματα·

3. Delet etiam ea delapſus ros multus. Imbres item, qui longioribus intervallis cadunt, eductis terræ odoribus faciunt, ut difficulter oleant veſtigia, donec tellus exſiccetur. Etiam tempeſtas auſtralis deteriora facit, dum humectans diffundit: ſeptentrionalis vero, ſi nimis ſæva non ſit, durabilia reddit, & ſervat.

4. Tam pluviæ quam guttæ diluunt, & inundant. Lunæ quoque calor facit, ut evaneſcant veſtigia, præſertim quum plena eſt. Et veſtigia tunc quidem rariſſima ſunt, quod gaudentes ejus luce lepores inter ſe colludant, & procul ſe jactando magnis intervallis veſtigia diſtinguant. Eadem turbantur, quum vulpes antea pertranſierint.

5. Ver propter anni temperiem, ſatis clara præbet veſtigia; niſi quod terra, ſicubi floret, canibus officit, dum in unum confundit florum ac veſtigiorum odores: æſtate vero exilia ſunt, & obſcuriora. Nam terra fervens abolet quidquid halitus & caloris habent. Eſt enim is tenuis, & canes tunc minus olfaciunt, quod eorum corpora reſoluta

μαλθα· τοῦ δὲ μετοπώρου καθαρά. ὅσα γὰρ ἡ γῆ φέρει, τὰ μὲν ἥμερα συγκεκόμισται, τὰ δὲ ἄγρια γήρᾳ διαλέλυται. ὥστε οὐ παραλυποῦσι τῶν καρπῶν αἱ ὀσμαὶ εἰς ταῦτα φερόμεναι.

ς'. Ἔτι δὲ τοῦ χειμῶνος, καὶ τοῦ θέρους, καὶ τοῦ μετοπώρου τὰ ἴχνη ὀρθὰ ἐπὶ τὸ πολὺ, τοῦ δ' ἦρος συμπεπλεγμένα. τὸ γὰρ θηρίον συνδυάζεται μὲν ἀεὶ, μάλιστα δὲ ταύτην τὴν ὥραν. ὥστε διὰ τοῦτο ἐξ ἀνάγκης μετ' ἀλλήλων πλανώμενοι τοιαῦτα ποιοῦσιν.

ζ'. Ὄζει δὲ τῶν ἰχνῶν ἐπὶ πλείω χρόνον τὰ εὐναῖα τῶν δρομαίων. τὰ μὲν εὐναῖα ὁ λαγὼς ποιεῖται ἐφιστάμενος, τὰ δὲ δρομαῖα τρέχων. ἡ γῆ οὖν τῶν μὲν πυκνοῦται, τῶν δὲ οὐ πίμπλαται. ἐν δὲ τοῖς ὑλώδεσι μᾶλλον, ἢ ἐν τοῖς ψιλοῖς ὄζει. διατρέχων γὰρ, καὶ ἀνακαθίζων, ἅπτεται πολλῶν.

η'. Κατακλίνονται δ' εἰς ἃ ἡ γῆ φύει ἢ ἔχει ἐφ' ἑαυτῆς, ὑπὸ παντὶ, ἐπ' αὐτῷ, ἐν αὐτοῖς, παρ' αὐτὰ, ἄποθεν,

refoluta langueant. Autumni tempore veftigia pura funt. Nam quæcumque terra producit, five domeftica, jam congefta funt; feu agreftia, fenio contabuerunt. Itaque fructuum odores ad veftigia non ita feruntur, ut quidquam obfint.

6. Itidem hyeme, & æftate, & autumno recta funt ut plurimum veftigia, vere autem inter fe perplexa. Nam coit hæc fera cum alias femper tum hoc tempore inprimis: ut à fimul oberrantibus hanc ipfam ob caufam id neceffario fieri oporteat.

7. Olent autem veftigia cubilibus impreffa, diutius quam in curfu. Nam illa cubilium infiftendo; curfus veftigia currendo lepus imprimit. Itaque terra per illa denfatur, his non impletur. In fylvofis vero locis redolent magis, quam nudis. Siquidem modo percurrens lepus, modo feffitans, multa contingit.

8. Procumbit autem ad ea quæ terra gignit, vel fuperficie fua continet, & quidem fub re quavis, fuper re quavis, in rem quamvis; itemque

θεν, πολὺ, μικρὸν, μεταξὺ τούτων· ὅτε δὲ καὶ ἐν τῇ θαλάττῃ διαρριπτῶν ἐπὶ τὸ δυνατὸν, καὶ ἐν ὕδατι, ἐάν τι ᾖ ὑπερέχον ἢ ἐμπεφυκὸς ἐν τούτῳ.

θʹ. Ὁ μὲν οὖν εὐναῖος ὁ ποιούμενος εὐνὴν, ἐπὶ τὸ πολὺ, ὅταν μὲν ᾖ ψύχη, ἐν εὐδιεινοῖς· ὅταν δὲ καύματα, ἐν πολυσκίοις· τὸ δὲ ἔαρ καὶ τὸ φθινόπωρον, ἐν προσηλίοις· οἱ δὲ δρομαῖοι οὐχ οὕτω, διὰ τὸ ὑπὸ τῶν κυνῶν ἔκπληκτοι γίνεσθαι.

ιʹ. Κατακλίνεται δὲ ὑποθεὶς τὰ ὑποκώλια ὑπὸ τὰς λαγόνας, τὰ δὲ πρόσθεν σκέλη τὰ πλεῖστα συνθεὶς καὶ ἐκτείνας, ἐπ᾽ ἄκροις δὲ τοὺς πόδας τὴν γένυν καταθεὶς, τὰ δὲ ὦτα ἐπιπετάσας ἐπὶ τὰς ὠμοπλάτας. εἶτα δὲ ὑποστέγει τὰ ὑγρά. ἔχει δὲ καὶ τὴν τρίχα στεγανήν. πυκνὴ γὰρ καὶ μαλακή.

ιαʹ. Καὶ ὅταν μὲν ἐγρηγορῇ, καταμύει τὰ βλέφαρα. ὅταν δὲ καθεύδῃ, τὰ μὲν βλέφαρα ἀναπέπταται ἀκίνητα, οἱ δὲ ὀφθαλμοὶ ἀτρέμας ἔχουσι. τοὺς δὲ μυκτῆρας, ὅταν εὕδῃ, κινεῖ πυκνά· ὅταν δὲ μὴ, ἧττον. ιβʹ. Ὅταν

itemque propius, longius; diu, parum, mediocriter; & in mare nonnunquam, ad id quod potest, exſiliens; & in aquam, ſi quid exſtans, innatumve ſit aquæ.

9. Lepus cubans eſt, qui cubile ſibi ſtruit, idque ut plurimum, quum frigora ſunt, tepidis in locis; quum æſtus, in opacis; quum ver & autumnus, in apricis: alia curſitantium eſt ratio, propterea quod eis terror à canibus incutiatur.

10. Sic autem procumbit, ut partes inferiores ſubter ilia collocet, cruribus anterioribus ut plurimum compoſitis & exporrectis, mento extremis pedibus impoſito, auribus ſupra ſcapulas expanſis. Deinde partes etiam molliores tegit. Habet & pilos ad tegendum aptos, quippe qui denſi ſint ac molles.

11. Quum vigilat, nonnihil connivet palpebris: quum dormit, palpebras nullo cum motu apertas habet, oculis manentibus immotis. Nares per ſomnum frequenter movet, extra ſomnum rarius.

12. Quum

ιβ΄. Ὅταν δὲ ἡ γῆ βρύῃ, μᾶλλον τὰ ἔργα ἢ τὰ ὄρη ἔχουσιν. ὑπομένει δὲ πανταχοῦ ἰχνευόμενος, ἐὰν μήτι περίφοβος τῆς νυκτὸς γένηται. παθὼν δὲ τοῦτο ὑποκινεῖ.

ιγ΄. Πολύγονον δ' ἐστὶν οὕτως, ὥστε τὰ μὲν τέτοκε, τὰ δὲ τίκτει, τὰ δὲ κύει. τῶν δὲ μικρῶν λαγίων ὄζει μᾶλλον, ἢ τῶν μεγάλων. ἔτι γὰρ ὑγρομελῆ ὄντα, ἐπισύρεται ὅλα ἐπὶ τῆς γῆς.

ιδ΄. Τὰ μὲν οὖν λίαν νεογνὰ οἱ φιλοκυνηγέται ἀφιᾶσι τῇ Θεῷ. οἱ δὲ ἤδη ἔπειοι τάχιστα θέουσι τὸν πρῶτον δρόμον, τοὺς δ' ἄλλους οὐκέτι. εἰσὶ γὰρ ἐλαφροὶ, ἀδύνατοι δέ.

ιε΄. Λαμβάνειν δὲ δεῖ τοῦ λαγὼ τὰ ἴχνη ὑπάγοντα τὰς κύνας ἐκ τῶν ἔργων ἄνωθεν, ὅσοι δὲ μὴ ἔρχονται αὐτῶν εἰς τὰ ἐργάσιμα, τοὺς λειμῶνας, τὰς νάπας, τὰ ῥεῖθρα, τοὺς λίθους, τὰ ὑλώδη· καὶ ἐὰν ὑποκινῇ, μὴ ἀναβοᾶν, ἵνα μὴ αἱ κύνες ἔκφρονες γιγνόμεναι χαλεπῶς τὰ ἴχνη γνωρίζωσιν.

ιϛ΄. Εὐ-

12. Quum terra pullulat, culta magis quam montes eum retinent. Ubique subsistit, dum investigatur; nisi noctu ingens eum metus invaserit. Id ei quum accidit, loco se movet.

13. Tam foecundum est animal, ut partim recens pepererit, partim patiat, partim uterum gerat. Parvorum lepusculorum vestigia magis olent, quam adultorum. Nam quum membra eorum adhuc mollia sint, tota quasi tractim terram stringunt.

14. Quicumque recens editi sunt admodum, eos venationum studiosi Dianæ dimittunt. Anniculi cursum primum celerrime conficiunt, reliquos non item. Sunt enim agiles quidem illi, sed imbecilles.

15. Vestigia leporis captanda sunt ita, ut ex arvorum parte superiori canes ducas, præsertim si lepores fuerint, qui ad loca culta non veniunt, in prata, in saltus, fluenta, saxa, loca sylvosa. Quod si loco se moverit, clamandum non erit; ne canes adtonitæ, vestigia difficulter agnoscant.

ιϛʹ. Εὑρισκόμενοι δὲ ὑπ' αὐτῶν καὶ διωκόμενοι ἔστιν ὅτε διαβαίνουσι τὰ ῥεύματα, καὶ ὑποκάμπτουσι, καὶ καταδύονται εἰς φάραγγας, καὶ εἰσέλθουσι. πεφόβηνται γὰρ οὐ μόνον τὰς κύνας, ἀλλὰ καὶ τοὺς ἀετούς. ὑπερβαλόντες γὰρ τὰ σιμὰ καὶ ψιλὰ, ἀναρπάζονται ἕως ἂν ὦσιν ἔτειοι· τοὺς δὲ μείζους ἐπιτρέχουσαι αἱ κύνες ἀφαιροῦνται.

ιζʹ. Ποδωκέστατοι μὲν οὖν εἰσιν οἱ ὄρειοι, οἱ πεδινοὶ δὲ ἧττον, βραδύτατοι δὲ οἱ ἕλειοι. οἱ δ' ἐπὶ πάντας τοὺς τόπους πλανῆται, χαλεποὶ πρὸς τοὺς δρόμους. τὰ γὰρ σύντομα ἴσασι. θέουσι γὰρ μάλιστα μὲν τὰ ἀνάντη, ἢ τὰ ὁμαλά· τὰ δὲ ἀνόμοια, ἀνομοίως· τὰ δὲ κατάντη, ἥκιστα.

ιηʹ. Διωκόμενοι δέ εἰσι κατάδηλοι μάλιστα μὲν διὰ γῆς κεκινημένης, ἐὰν ἔχωσιν ἔνιον ἐρύθημα, καὶ διὰ καλάμης, διὰ τὴν ἀνταύγειαν· κατάδηλοι δὲ καὶ ἐν τοῖς τριμμοῖς, καὶ ἐν ταῖς ὁδοῖς, ἐὰν ὦσιν ἰσόπεδοι. τὸ γὰρ φανὸν τὸ ἐν αὐτοῖς ἐνὸν ἀντιλάμπει. ἄδηλοι δὲ, ὅταν κατὰ τοὺς

16. Quum inveniuntur à canibus, iisdem insequentibus nonnunquam flumina tranant, & cursum flectunt, & in convalles se abdunt ac involvunt. Non enim canes tantum metuunt, sed etiam aquilas; à quibus inter superandum loca devexa sylvisque nuda, dum adhuc anniculi sunt, rapiuntur: majores à canibus impetu facto auferuntur.

17. Velocissimi sunt montani, campestres minus, palustres autem longe tardissimi. At qui locis omnibus oberrant, molesti sunt in cursu. Norunt enim itinera compendiaria, & maxime currunt per acclivia, vel plana: si quæ sunt loca inæqualia, & hæc inæqualiter percurrunt; per declivia minime feruntur.

18. In persequendo maxime conspiciuntur, quum per agrum subactum currunt, si quidem rubor quidam eis adsit: itemque per stipulas, propter splendoris reflexionem. Sunt etiam in tramitibus ac viis conspicui, siquidem hæ planæ fuerint. Nam quod in eis nitidum est, resplendet. Conspici ne-

τοὺς λίθους, τὰ ὄρη, τὰ φέλλια, τὰ δασέα ἀποχωρῶσι, διὰ τὴν ὁμόχροιαν.

ιθ'. Περιλαμβάνοντες δὲ τὰς κύνας ἐφίστανται, καὶ ἀνακαθίζοντες ἐπαίρουσιν αὐτούς, καὶ ἐπακούουσιν εἴπου πλησίον κλαγγὴ ἢ ψόφος τῶν κυνῶν, καὶ ὅθεν ἂν ἀκούσωσιν, ἀποτρέπονται.

κ'. Ὁτὲ δὲ καὶ οὐκ ἀκούσαντες, ἀλλὰ δόξαντες ἢ πεισθέντες ὑπ' αὐτῶν, παρὰ τὰ αὐτά, διὰ τῶν αὐτῶν, ἐπαλλάττοντες ἅλματα, ἐμποιοῦντες ἴχνεσιν ἴχνη, ἀποχωροῦσι.

κα'. Καί εἰσι μακροδρομώταται μὲν οἱ ἐκ τῶν ψιλῶν εὑρισκόμενοι, διὰ τὸ καταφανές· βραχυδρομώταται δέ, οἱ ἐκ τῶν δασέων· ἐμποδὼν γὰρ τὸ σκοτεινόν.

κβ'. Δύο δὲ καὶ τὰ γένη ἐστὶν αὐτῶν. οἱ μὲν γὰρ μεγάλοι, ἐπιπερκνοι, καὶ τὸ λευκὸν τὸ ἐν τῷ μετώπῳ μέγα ἔχουσιν· οἱ δ' ἐλάττους, ἐπίξανθοι, μικρὸν τὸ λευκὸν ἔχοντες.

κγ'. Τὴν δὲ οὐρὰν οἱ μὲν κύκλῳ περιποίκιλον, οἱ δὲ παρά-

nequeunt quum ad ſaxa, montes, loca ſuberoſa, ſylviſque denſa, ſecedunt, idque ob coloris ſimilitudinem.

19. Si canes antevertant, ſubſiſtunt; ſeque humi collocatos erigunt, & num alicubi latratus ſtrepituſve canum in propinquo ſit, auribus captant: & undecumque hunc percipiunt, inde ſe avertunt.

20. Interdum tametſi nihil audierint, opinione tamen, ac perſuaſione ſua, propter eadem, & per eadem loca, variatis ſaltibus, & in veſtigia veſtigiis aliis impreſſis, ita deinde diſcedunt.

21. Curſu longiſſima ſpatia conficiunt, qui nudis in locis reperiuntur, quod ea ſatis lucis habeant; breviſſima, qui in ſylvoſis: quod tenebræ ſint eis impedimento.

22. Duo ſunt autem eorum genera. Nam alii magni ſunt, notis nigris varie diſtincti, qui & albedinem in fronte inſignem habent: alii minores ſubflavi, exigua cum albedine.

23. Cauda illis undique varia eſt, his albedine inſignis longiore ſpatio.

παράσημον· καὶ τὰ ὄμματα οἱ μὲν ὑπόχαροποὶ, οἱ δ' ὑπόγλαυκοι· καὶ τὰ μέλανα τὰ περὶ τὰ ὦτα ἄκρα οἱ μὲν ἐπὶ πολὺ, οἱ δὲ ἐπὶ μικρόν.

κδ΄. Ἔχουσι δὲ αὐτῶν αἱ πολλαὶ τῶν νήσων τοὺς ἐλάττους, αἵτ' ἔρημοι καὶ οἰκούμεναι. τὸ δὲ πλῆθος πλείους ἐν αὐταῖς, ἢ ἐν ταῖς ἠπείροις. οὐ γάρ εἰσιν οὔτ' ἀλώπεκες ἐν ταῖς πολλαῖς αὐτῶν, αἵτινες καὶ αὐτοὺς καὶ τὰ τέκνα ἐπιοῦσαι ἀναιροῦνται, οὔτε ἀετοί. τὰ μεγάλα γὰρ ὄρη ἔχουσι μᾶλλον, ἢ τὰ μικρά. ἐλάττω δ' ἐπὶ τὸ πολὺ τὰ ἐν ταῖς νήσοις.

κε΄. Κυνηγέται δὲ εἰς μὲν τὰς ἐρήμους ὀλιγάκις ἀφικνοῦνται, ἐν δὲ ταῖς οἰκουμέναις ὀλίγοι ὄντες, καὶ οὐ φιλόθηροι οἱ πολλοί. εἰς δὲ τὰς ἱερὰς τῶν νήσων οὐδὲ διαβιβάζειν οἷόν τε κύνας. ὅταν οὖν τῶν τε ὑπαρχόντων ὀλίγους ἐκθηρῶνται, καὶ τῶν ἐπιγιγνομένων, ἀνάγκη ἀφθόνους εἶναι.

κϛ΄. Βλέπει δὲ οὐκ ὀξὺ διὰ πολλά. τά τε γὰρ ὄμματα ἔχει ἔξω, καὶ τὰ βλέφαρα ἐλλείποντα, καὶ οὐκ ἔχον-

ſpatio. Oculi illis ſubfulvi, his ſubcæſii. Quam circa ſummas aures nigredinem habent, ea magna eſt in illis, in his exigua.

24. Minores maxime in inſulis, tum deſertis, tum habitatis & excultis, reperiuntur: atque adeo plures ſunt in iis quam in terra continente. Quippe nec in pleriſque vulpes ſunt, quæ tum lepores tum fœtus eorum interficiunt; nec aquilæ, quæ magis in montibus vaſtis degunt, quam exiguis. Et ſunt in inſulis plerumque montes minores.

25. Venatores etiam raro in deſertas inſulas veniunt, & in iis, quæ incoluntur, pauci ſunt homines, neque venationis admodum ſtudioſi. Quæ vero ſacræ ſunt inſulæ, in eas haud fas eſt canes tranſvehi. Quo fit, ut quum pauci de iis qui jam illic exiſtunt, venando capiantur, & plures ſemper gignantur; neceſſario magna ſit eorum copia.

26. Multæ ſunt autem cauſſæ, quamobrem lepores acutum non cernant. Nam & oculos habent exſtantes, & palpebras curtas, quæque

ἔχοντα προβολὴν ταῖς αὐγαῖς. ἡ ὄψις οὖν διὰ ταῦτα ἀμαυρά, ἐσκεδασμένη.

κζ'. Ἅμα δὲ τούτοις, καὶ ἐν ὕπνῳ ὂν τὰ πολλὰ τὸ θηρίον οὐκ ὠφελεῖται πρὸς τὸ ὁρᾷν. καὶ ἡ ποδωκία πρὸς τὸ ἀμβλυωπεῖν αὐτῷ πολὺ συμβάλλεται. ταχὺ γὰρ ἑκάστου παραφέρει τὴν ὄψιν, πρὶν νοῆσαι ὅ,τι ἐστί.

κη'. Καὶ οἱ φόβοι τῶν κυνῶν, ὅταν διώκωνται, ἑπόμενοι μετὰ τούτων, συνεξαιροῦνται τὸ προνοεῖσθαι. ὥστε διὰ ταῦτα προσπίπτων λανθάνει πρὸς πολλά, καὶ εἰς τὰς ἄρκυς ἐμπίπτων.

κθ'. Εἰ δ' ἔφυγεν ὄρθιον, ὀλιγάκις ἂν ἔπασχε τὸ τοιοῦτον. νῦν δὲ περιβάλλων καὶ ἀγαπῶν τοὺς τόπους, ἐν οἷς ἐγένετο καὶ ἐτράφη, ἁλίσκεται. κατὰ πόδας δὲ οὐ πολλάκις ὑπὸ τῶν κυνῶν, διὰ τάχος, κρατεῖται. ὅσοι δὲ ἁλίσκονται, παρὰ φύσιν τοῦ σώματος, τύχῃ δὲ χρώμενοι. οὐδὲν γὰρ τῶν ὄντων ἰσομεγέθες τούτῳ ὅμοιόν ἐστι πρὸς

que ſatis oculos obtegere nequeunt: quibus ſane rebus videndi vis hebes redditur, quippe quæ diſſipetur.

27. Præterea quum etiam ſomno plerumque fruitur hoc animal, parum inde tamen ad viſum adjumenti habet. Ipſa pedum velocitas ad obtuſionem facultatis cernentis non parum confert. Nam celeriter ab objecto quovis oculos prius avertit, quā quid ſit, animadvertat.

28. Etiam canum perſequentium comites, ipſæ formidines, inter alia providentiam omnem eis adimunt. Quæ cauſſæ ſunt, ut imprudenter irruens in multa, etiam in retia incidat.

29. Quod ſi recta via fugeret, non frequenter hæc illi acciderent. Nunc quia complectitur atq; amat ea loca, quibus in locis & ortus & educatus eſt, capitur: quum cæteroquin ob celeritatem, in canum poteſtatem, inſiſtentium ipſius veſtigiis, raro perveniat. Quod ſi qui capiantur, id caſu potius quodam fit, quam natura corporis leporini. Quippe nullum animal eſt, quod lepori magnitudine par, eum curſu æquet.

πρὸς δρόμον. σύγκειται γὰρ ἐκ τοιούτων τὸ σῶμα.

λ'. Ἔχει γὰρ κεφαλὴν κούφην, μικρὰν, κατωφερῆ, στενὴν ἐκ τοῦ ἔμπροσθεν· τράχηλον λεπτὸν, περιφερῆ, οὐ σκληρὸν, μῆκος ἱκανόν· ὠμοπλάτας ὀρθὰς, ἀσυνδέτους ἄνωθεν· σκέλη τὰ ἐπ' αὐτῶν ἐλαφρὰ, σύγκωλα· στῆθος οὐ βαρύτονον, πλευρὰς ἐλαφρὰς, συμμέτρους· ὀσφὺν περιφερῆ, κοίλην, σαρκώδη· λαγόνας ὑγρὰς, λαγαρὰς ἱκανῶς· ἰσχία στρογγύλα, πλήρη κύκλῳ, ἄνωθεν δὲ ὡς χρὴ διεστῶτα· μηροὺς μακροὺς, εὐπαγεῖς, ἔξωθεν μὲν ἐπιτεταμένους, ἔνδοθεν δὲ οὐκ ὀγκώδεις· ὑποκώλια μικρὰ, στιφρά· πόδας τοὺς ἔμπροσθεν ἄκρως ὑγροὺς, στενοὺς, ὀρθούς· τοὺς δὲ ὄπισθεν στερεοὺς, πλατεῖς· πάντας δὲ, οὐδενὸς τραχέος φροντίζοντας· σκέλη τὰ ὄπισθεν μείζω πολὺ τῶν ἔμπροσθεν, καὶ ἐγκεκλιμένα μικρὸν ἔξω· τρίχωμα βραχὺ, κοῦφον.

λα'. Ἔστιν οὖν ἀδύνατον μὴ οὐκ εἶναι, ἐκ τοιούτων συνηρμοσμένον, ἰσχυρὸν, ὑγρὸν, ὑπερέλαφρον. τεκμήριον δὲ, ὡς

æquet. Ejuſmodi ſcilicet ex partibus corpus ejus compoſitum eſt.

30. Caput leve habet, idemque parvum, deorſum ſpectans, anteriori parte ſtrictius: collum exile, rotundum, non rigidum, juſta longitudine: ſcapulas rectas, à ſummo non connexas: crura ſub ipſis levia, partibus recto junctis: pectus haudquaquam anguſtum: latera levia, proportionis aptæ: lumbos teretes, cavos, carnoſos: ilia mollia, ſatiſq; laxa: coxas rotundas, undique plenas, parte ſuperiori à ſe invicem debito ex intervallo diſtantes: femora oblonga, ſatis ſpiſſa, extrinſecus tenſa, interius non turgida: partes his ſubjectas, parvas, firmas: pedes anteriores ſummopere molles, anguſtos, rectos; poſteriores firmos, latos; omnes nihil, quod aſperum ſit, curantes: crura poſteriora prioribus longe majora, nonnihil extrorſum incurvata: pilos breves, ac leves.

31. Quapropter fieri non poteſt, quin quod ex hujuſmodi partibus compoſitum eſt, firmum ſit, molle, vehementer leve: cujus quidem

ὡς ἐλαφρόν ἐστιν, ὅταν ἀτρέμα διαπορεύηται, πηδᾷ (βαδίζοντα δὲ οὐδεὶς ἑώρακεν, οὐδ' ὄψεται) τιθεὶς εἰς τὸ ἐπέκεινα τῶν ἔμπροσθεν ποδῶν τοὺς ὄπισθεν, καὶ ἔξω, καὶ θεῖ οὕτως. δῆλον δὲ τοῦτο ἐν χρείᾳ.

λβ'. Οὐρὰν δὲ οὐκ ἐπιτηδείαν ἔχει πρὸς δρόμον. ἐπευθύνειν γὰρ οὐχ ἱκανὴ τὸ σῶμα, διὰ τὴν βραχύτητα, ἀλλὰ τῷ ὠτὶ ἑκατέρῳ τοῦτο ποιεῖ. καὶ ὅταν ἁλίσκηται ὑπὸ τῶν κυνῶν, καταβάλλει ἄρα καὶ παραβάλλει τὸ ἕτερον οὖς πλάγιον, ὁποτέρᾳ ἂν λυπῆται ἀπερειδόμενος, διὸ δὴ εἰς τοῦτο ὑποστρέφεται ταχὺ, ἐν μικρῷ πολὺ καταλιπὼν τὸ ἐπιφερόμενον.

λγ'. Οὕτω δὲ ἐπίχαρί ἐστι τὸ θηρίον, ὥστε οὐδεὶς ὅστις οὐκ ἂν ἰδὼν ἰχνευόμενον, εὑρισκόμενον, μεταθεόμενον, ἁλισκόμενον, ἐπιλάθοιτ' ἂν εἴτου ἐρῴη.

λδ'. Ἐν δὲ τοῖς ἔργοις κυνηγετοῦντα ἀπέχεσθαι ὧν ὧραι φέρουσι, καὶ τὰ νάματα καὶ τὰ ῥεῖθρα ἐᾶν. τὸ γὰρ ἅπτεσθαι τούτων αἰσχρὸν καὶ κακόν, καὶ ἵνα

μὴ

dem levitatis agilis indicium est, quod quum etiam remissius aliquo pergit, saltare solet; (gradientem nec vidit quisquam, nec videbit) adeo quidem, ut ultra extraque priores pedes collocet posteriores, itaque currat. Manifesto paret hoc in necessitate.

32. Caudam habet ad cursum minus commodam. Non enim propter brevitatem ad dirigendum corpus idonea est, sed hoc utraque facit aure. Quumque in eo est ut capiatur à canibus, alteram aurem demittit, & detorquet obliquam; & utra tandem parte læditur, in hanc innitens, hoc modo celeriter sese flectit, exiguo temporis spatio longe canibus irruentibus post se relictis.

33. Adeo lepidum vero animal est, ut nemo sit; qui, si eum videat, dum vestigatur, dum invenitur, dum cursu petitur, dum capitur, cujusvis rei caræ non oblivliscatur.

34. At inter venandum in locis cultis, à fructibus venator quorumvis anni temporum abstineat, latices & flumina relinquat intacta. Nam ut ea tangere fœdum ac im-

probum

μὴ τῷ νόμῳ ἐναντίοι ὦσιν οἱ δρῶντες. καὶ ὅταν ἀναγεία ἐμπίπτῃ, ἀναλύειν χρὴ τὰ περὶ κυνηγέσιον πάντα.

ΚΕΦ. ϛʹ.

Κυνῶν δὲ κόσμος δέραια, ἱμάντες, στελμονίαι. ἔστω δὲ τὰ μὲν δέραια, μαλακὰ, πλατέα, ἵνα μὴ θραύῃ τὰς τρίχας τῶν κυνῶν· οἱ δὲ ἱμάντες ἔχοντες ἀγκύλας τῇ χειρὶ, ἄλλο δὲ μηδέν. οὐ γὰρ καλῶς τηροῦσι τὰς κύνας, οἱ ἐξ αὐτῶν εἰργασμένοι τὰ δέραια. αἱ δὲ στελμονίαι πλατεῖς τοὺς ἱμάντας, ἵνα μὴ τρίβωσι τὰς λαγόνας αὐτῶν· ἐγκαπερραμμέναι δὲ ἐγκεντρίδες, ἵνα τὰ γένη φυλάττωσι.

βʹ. Ἐξάγειν δὲ αὐτὰς οὐ χρὴ ἐπὶ τὰ κυνηγέσια, ὅταν μὴ τὰ προσφερόμενα δέχωνται ἡδέως, (τεκμήριον δὲ τοῦτο, ὅτι οὐκ ἔρρωνται) μηδὲ ὅταν ἄνεμος πνέῃ μέγας. διαρπάζει γὰρ τὰ ἴχνη, καὶ οὐ δύνανται ὀσφραίνεσθαι, οὐδὲ αἱ ἄρκυς ἑστάναι, οὐδὲ τὰ δίκτυα.

γʹ. Ὅταν

probum est; ita legem venatoriam violant, qui hoc faciunt. Quod si nulla se fera obtulerit, ad venationem pertinentia refigenda sunt omnia.

CAP. VI.

Canum ornatus sunt collaria, lora, cinctus. Collaria quidem mollia sint, & lata, ne pilos canum adterant. Lora pro manibus ansas habeant, praeterea nihil. Nec recte canes retinent ac servant, qui collaria de loris conficiunt. Cinctus habeant lora latiora, ne canum ilia terant. Muniti sint etiam insutis aculeis, ut genus suum conservent.

2. Venatum canes non educuntor, si cibos, qui offeruntur, non lubenter accipiant, quod in eis minus commodae valetudinis indicium est; nec si flatus venti magnus sit. Is enim dissipat vestigia, nec canes tunc odorari, nec sagenae retiave stare possunt.

3. Quod

γ'. Ὅταν δὲ τούτων μηδέτερον κωλύῃ, ἄγειν διὰ τρίτης τῆς ἡμέρας. τὰς δὲ ἀλώπεκας μὴ ἐθίζειν τὰς κύνας διώκειν. διαφθορὰ γὰρ μεγίστη, καὶ ἐν τῷ δέοντι οὔποτε πάρεισιν.

δ'. Εἰς δὲ τὰ κυνηγέσια μεταβάλλοντα ἄγειν, ἵνα ὦσιν ἔμπειροι τῶν κυνηγεσίων, αὐτὸς δὲ τῆς χώρας. ἐξιέναι δὲ πρῲ, ἵνα τῆς ἰχνεύσεως μὴ ἀποστερῶνται· ὡς οἱ ὀψιζόμενοι ἀφαιροῦνται τὰς μὲν κύνας τοῦ εὑρεῖν τὸν λαγῶ, αὐτοὺς δὲ τῆς ὠφελείας. οὐ γὰρ ἐπιμένει τοῦ ἴχνους ἡ φύσις, λεπτὴ οὖσα, πᾶσαν ὥραν.

ε'. Τὴν δὲ στολὴν ὁ ἀρκυωρὸς ἐξίτω ἔχων ἐπὶ θήραν, μὴ ἔχουσαν βάρος. τὰς δὲ ἄρκυς ἱστάτω ἀμφὶ δρυμῶν ὁδοὺς, τραχείας, σιμὰς, λαγαρὰς, σκοτεινὰς, ῥοὺς, χαράδρας, χειμάρρους ἀεννάους. εἰς ταῦτα γὰρ μάλιστα φεύγει.

ϛ'. Ὅσα δὲ ἄλλα εἰσὶν ἄπειρον εἰπεῖν. τούτων δὲ προόδους, διόδους, καταφανεῖς, λεπτὰς, εἰς ὄρθρον καὶ μὴ πρῲ· ἵνα ἐὰν ᾖ πλησίον τὸ ἀρκυστάσιον τῶν ζητησίμων, μὴ φοβῆται, ἀκούων ὁμοῦ τὸν ψόφον. ἐὰν δὲ ᾖ ἀπ' ἀλλή-

3. Quod si horum neutrum impediat, ad tertium quemque diem educuntor. Nec vulpes persequi adsuescant canes. Id enim eos maxime corrumpit, ut quum oportet, nunquam præsto sint.

4. In educendo mutanda loca venationum, ut & canes venandi, & venator ipse regionis peritus evadat. Exeundum est autem diluculo, ne vestigatio frustra fiat. Quippe qui venatum serius educunt, canes inventione leporis, seipsos fructus perceptione fraudant; Etenim vestigii natura, quum subtilis sit; quovis anni tempore diu non durat.

5. Veste custos retiarius minime ponderosa indutus venatum exeat. Retia collocet ad vias nemorum asperas, declives, laxas, caliginosas; ad rivos, convalles, aquas perennes. Ad hæc enim loca præcipue lepus se fuga confert.

6. Infinitum aliquid, alia dicere quæcumq; huc pertinent. Aditus, transitus, manifesti, subtiles, versus diluculum, non ante lucem faciundi: ne si retia prope feras inquirendas tendantur, audiens strepitum

ἀλλήλων πολὺ, ἧττον κωλύει ἰέναι περὶ καθαρὰς ποιουμένους τὰς ἀρκυστασίας.

ζ΄. Ἵνα δ' αὐτῶν μηδὲν ἀντέχηται, πηγνύειν δεῖ τὰς σχαλίδας ὑπτίας, ὅπως ἂν ἐπαγόμεναι ἔχωσι τὸ σύντονον. ἐπὶ δ' ἄκρας ἴσους τοὺς βρόχους ἐπιβαλλέτω, καὶ ὁμοίως ἀντερειδέτω, ἐπαίρων εἰς μέσον τὸν κεκρύφαλον.

η΄. Εἰς δὲ τὸν περίδρομον ἐναπτέτω λίθον μακρὸν καὶ μέγαν, ἵνα ἡ ἄρκυς, ὅταν ἔχῃ τὸν λαγὼ, μὴ ἀντιτείνῃ. στοιχιζέτω δὲ μακρὰ, ὑψηλὰ, ὅπως ἂν μὴ ὑπερπηδᾷ. ἐν δὲ ταῖς ἰχνίαις μὴ ὑπερεμβάλλεσθαι. ἔστι γὰρ θηρατικὸν μὲν, φιλόπονον δὲ, τὸ ἐκ παντὸς τρόπου ἑλεῖν ταχύ.

θ΄. Τὰ δὲ δίκτυα τεινέτω ἐν ἀπέδοις, ἐμβαλλέτω δὲ τὰ ἐνόδια εἰς τὰς ὁδοὺς, καὶ ἐκ τῶν τετριμμένων εἰς τὰ συμφέροντα, καθάπτων τοὺς περιδρόμους ἐπὶ τὴν γῆν, τὰ ἀκρωλένια συνάγων, πηγνύων τὰς σχαλίδας μεταξὺ τῶν σαρδονίων, ἐπὶ ἄκρας ἐπιβάλ-

λων

fera terreatur. Sin magnum intersit ſpatium, minus ante lucem aliquis ire prohibetur, ut loca retibus tendendis expurget.

7. Ne quid autem eis obſtet, furculæ infigendæ ſunt ſupinæ; ut plagæ magis tentæ ſint, quum adducuntur. Summis furculis totidem laqueos indat, parique modo fulciat, adtollens in medio concavitatem plagæ.

8. Ad marginem plagæ lapidem oblongum magnumque adnectat, ne recte, quum leporem tenuerit, in contrariam partem tendat. Longa vero & alta indagine cingat, ne forte lepus tranſiliat. In ipſis inveſtigationibus nulla interponenda mora. Quippe venatoris eſt, & induſtrii quidem, celeriter omnino feram capere.

9. Retia majora in planitie tendat, caſſes autem in vias conjiciat, & opportunis extra ipſos tramites locis, caſſium margines ad humum religans, limbos ſummos contrahens, inter oras rete ſuſtollentes furculas figens, funiculos ſummis furculis tenſiles imponat, & intervalla retium,

quibus

λων τοὺς ἐπιδρόμους, καὶ παράδρομα συμφράττων.

ι'. Φυλαττέτω δὲ ἐκπεριιών. ἐὰν δὲ ἐκκλίνῃ στοῖχος, ἢ ἄρκυς, ἀνιστάτω. διωκομένου δὲ τοῦ λαγὼ εἰς τὰς ἄρκυς, εἰς τὸ πρόσθεν προϊέσθω, καὶ ἐπιθέων μὴ ἐκβοάτω· ἐμπεπτωκότος δὲ, τὴν ὀργὴν τῶν κυνῶν παυέτω, μὴ ἁπτόμενος, ἀλλὰ παραμυθούμενος· καὶ δηλούτω τῷ κυνηγέτῃ, ὅτι ἑάλωκεν ἀναβοήσας, ἢ ὅτι παραδεδράμηκε παρὰ τάδε, ἢ τάδε, ἢ ὅτι οὐχ ἑώρακεν, ἢ ὅτι κατεῖδε.

ια'. Τὸν δὲ κυνηγέτην ἔχοντα ἐξιέναι ἠμελημένην ἐλαφρὰν ἐσθῆτα ἐπὶ τὸ κυνηγέσιον, καὶ ὑπόδεσιν, ἔν τε τῇ χειρὶ ῥόπαλον· τὸν δὲ ἀρκυωρὸν, ἕπεσθαι· πρὸς δὲ τὸ κυνηγέσιον σιγῇ προσιέναι, ἵνα μὴ ὁ λαγὼς, ἐάν που ᾖ πλησίον, ὑποκινῇ ἀκούων τῆς φωνῆς.

ιβ'. Δήσαντα δ' ἐκ τῆς ὕλης τὰς κύνας ἑκάστην χωρὶς, ὅπως ἂν εὔλυτοι ὦσι, συνιστάναι τὰς ἄρκυς καὶ τὰ δίκτυα, ὡς εἴρηται. μετὰ δὲ τοῦτο τὸν μὲν ἀρκυωρὸν εἶναι ἐν φυλακῇ, αὐτὸν δὲ τὰς κύνας λαβόντα ἰέναι πρὸς τὴν ὑπαγωγὴν τοῦ κυνηγεσίου.

ιγ'. Καὶ

quibus evadere fera posset, obstruat.

10. Denique circumiens undique observet. Si vel indago, vel rete inclinaverit, erigat. Leporem vero, dum ad sagenas agitur, antrorsum recta currere sinat, ipse cum clamore post eum currat: atque ubi jam in casses inciderit, canum iram, non eos adtingendo, sed verbis mitigando compescat: & venatori clamore significet, vel captum esse, vel hac illacve transcurrisse, vel non ab se visum, vel jam conspici.

11. Venator autem, neglecto levique vestitu amictus, itidemque calceatus, venatum exeat, manu clavam gestans; eumque retium custos sequatur. Ad venandum vero taciti accedant, ne lepus, si forte alicubi sit in proximo, vocem audiens loco se moveat.

12. Canibus ad silvam, seorsum singulis, ita religatis, ut facile solvi possint; casses & retia majora, ceu dictum, erigunto. Inde retium custos excubias agat, venator ipse canibus secum sumtis ad prædam in casses adducendam abeat.

 13. Vo-

ιγ'. Καὶ εὐξάμενον τῷ Ἀπόλλωνι καὶ τῇ Ἀρτέμιδι τῇ ἀγροτέρᾳ μεταδοῦναι τῆς θήρας, λῦσαι μίαν κύνα, ἥτις ἂν ᾖ σοφωτάτη ἰχνεύειν· ἐὰν μὲν ᾖ χειμών, ἅμ' ἡλίῳ ἀνέχοντι· ἐὰν δὲ θέρος, πρὸ ἡμέρας· τὰς δ' ἄλλας ὥρας, μεταξὺ τούτου.

ιδ'. Ἐπειδὰν δὲ ἡ κύων λάβῃ τὸ ἴχνος ὄρθιον ἐκ τῶν * ἀπηλλαγμένων, παραλῦσαι καὶ ἑτέραν· περαινομένου δὲ τοῦ ἴχνους, διαλιπόντα μὴ πολὺ καὶ τὰς ἄλλας ἀφιέναι κατὰ μίαν, καὶ ἕπεσθαι μὴ ἐγκείμενον, ὀνομαστὶ ἑκάστην προσαγορεύοντα· μὴ πολλά, ἵνα μὴ παροξύνωνται πρὸ τοῦ καιροῦ.

ιε'. Αἱ δὲ ὑπὸ χαρᾶς καὶ μένους προΐασιν, ἐξειλοῦσαι τὰ ἴχνη, ὡς πέφυκε, διπλᾶ, τριπλᾶ, περιφορούμεναι παρὰ τὰ αὐτά, διὰ τῶν αὐτῶν, ἐπηλλαγμένα, περιφερῆ, ὄρθια, καμπύλα, πυκνά, μανά, γνώριμα, ἄγνωστα, ἑαυτὰς παραθέουσαι, ταχὺ ταῖς οὐραῖς * διασείουσαι, καὶ ἐπικλίνουσαι τὰ ὦτα, καὶ ἀστράπτουσαι τοῖς ὄμμασιν.

ιϛ'. Ἐπει-

13. Votis hinc Apollini & Dianæ, quæ ruri colitur, de impertiendis primitiis prædæ nuncupatis, canem unam ſolvat, quæ veſtigandi peritiſſima ſit, idque ſi tempus ſit hibernum, ipſo cum ſolis ortu; ſi æſtas, ante diem; aliis anni temporibus, quodam inter hæc tempore medio.

14. Poſtquam canis iſta rectum feræ veſtigium ex aliis variatis & implicitis eruerit, alterum quoque ſolvat. Dum vero veſtigii finis ab his quæritur, interjecto tempore non magno, ſingulatim & alias dimittat, ipſeque ſequatur, non urgens tamen, ac unamquamque nominatim adpellet; nec id quidem ſæpius, ne ante tempus irritentur.

15. Hæ vero præ gaudio & animi ardore procedunt, veſtigia cujuſmodi ſunt, dupla, tripla, evolventes, hac illac, proruentes ad eadem, per eadem, variata, in orbem acta, recta, curva, denſa, rara, nota, ignota; prætercurrentes ſe invicem, caudas celerius quatientes, aures inclinantes, oculis coruſcantes.

16. Ubi

ιϛʹ. Ἐπειδὰν δὲ περὶ τὸν λαγὼ ὦσι, δῆλον ποιήσουσι τῷ κυνηγέτῃ, σὺν ταῖς οὐραῖς τὰ σώματα ὅλα συνεπικραδαίνουσαι, πολεμικῶς ἐπιφερόμεναι, φιλονείκως παραθέουσαι, συντρέχουσαι φιλοπόνως, συνιστάμεναι ταχὺ, διϊστάμεναι, πάλιν ἐπιφερόμεναι· τελευτῶσαι δὲ ἀφίξονται πρὸς τὴν εὐνὴν τοῦ λαγὼ, καὶ ἐπιδραμοῦνται ἐπ' αὐτόν.

ιζʹ. Ὁ δ' ἐξαίφνης ἀναΐξας, ἐφ' αὐτὸν ὑλαγμὸν ποιήσει τῶν κυνῶν καὶ κλαγγὴν φεύγων. ἐμβοώντων δὲ αὐτοὶ διωκομένῳ, ἰὼ κύνες, ἰὼ κακὰς, σοφῶς γε ὦ κύνες, καλῶς γε ὦ κύνες. καὶ κυνοδρομεῖν περιελίξαντα ὃ ἀμπέχεται περὶ τὴν χεῖρα, καὶ τὸ ῥόπαλον ἀναλαβόντα, κατὰ τὸν λαγὼ, καὶ μὴ ὑπαντᾷν. ἄπειρον γάρ.

ιηʹ. Ὁ δὲ ὑποχωρῶν, ταχὺ ἐκλείπων τὴν ὄψιν, πάλιν περιβάλλει, ὅθεν εὑρίσκεται, ἐπὶ τὸ πολύ. ἀναβοᾷν ★ δὲ κοινὸν μέν· αὐτῷ παῖς, αὐτῷ παῖς, παῖ δὴ, παῖ δή· ὁ δὲ ἐάν τε ἑαλωκὼς ᾖ, ἐάν τε μὴ, δηλούτω· καὶ ἐὰν μὲν ἑαλωκὼς ᾖ ἐν τῷ πρώτῳ δρόμῳ, ἀνακαλεσά-

μενος

16. Ubi vero prope leporem erunt, hoc ipſum venatori ſignificabunt, una cum caudis corpora tota concutientes, bellico more irruentes, certatim procurrentes, ſtudioſe concurrentes, cito ſe conjungentes, viciſſim à ſe diſcedentes, ac rurſus irruentes. Tandem ad leporis cubile pervenient, & in ipſum incurrent.

17. Ille repente ſubſiliens, canum in ſe latratum & clamorem fugiendo convertet. Ipſi vero inter perſequendum clament, Io canes, Io ſegnes, Certo canes, recte ô canes. Venator obvoluto manui, quocumque circumdatur, clavaque ſumta, ſimul incitato curſu more canum feratur, & leporis quidem à tergo, non ut ei occurrat. Nam venatoris hoc imperiti.

18. Lepus autem ſe ſubducens, & celeriter ex oculis ſe proripiens, rurſus ea plerumque loca circuit, quibus in locis inveniebatur. Exclamet autem venator, In eum puer, In eum puer, Puer, inquam, Puer heus. Ille vero ſignificet, captus ſit, necne. Quod ſi primo curſu captus fuerit, revocatis

μενος τοὺς κύνας ζητεῖν ἄλλον· ἐὰν δὲ μὴ, κυνοδρομεῖν ὡς τάχιστα, καὶ μὴ ἀφιέναι, ἀλλ' ἐκπεραίνειν φιλοπόνως.

ιθ'. Καὶ ἐὰν πάλιν ἀπαντῶσι, διώκουσαι αὐτὸν, ἀναβοᾷν· εὖγε, εὖγε, ὦ κύνες, ἕπεσθε ὦ κύνες. ἐὰν δὲ πολὺ προειληφυῖαι ὦσι, καὶ μὴ οἷός τ' ᾖ κυνοδρομῶν ἐπιγίνεσθαι αὐταῖς, ἀλλὰ διημαρτηκὼς ᾖ τῶν δρόμων, ἢ καὶ πλησίον που φοιτώσας, ἢ ἐπιβοώσας, ἢ ἐχομένας τῶν ἰχνῶν μὴ δύνηται ἰδεῖν, πυνθάνεσθαι παραθέοντα ἅμα, ὅτῳ ἂν προσπελάζῃ ἀναβοῶντα· ἦ κατεῖδες ὦ ἢ τὰς κύνας;

κ'. Ἐπειδὰν δὲ πύθηται ἤδη, ἐὰν μὲν ἐν τῷ ἴχνει ὦσι, προστάντα ἐγκελεύειν, τοὔνομα μεταβάλλοντα ἑκάστης τῆς κυνὸς ὁποσαχῇ οἷόν τ' ἂν ᾖ, τοὺς τόνους τῆς φωνῆς ποιούμενον, ὀξὺ, βαρὺ, μικρὸν, μέγα. πρὸς δὲ τοῖς ἄλλοις κελεύσμασιν, ἐὰν ὦσιν ἐν ὄρει αἱ μεταδρομαὶ, ἐπικελεύειν τόδε, εὖ κύνες, εὖ ὦ κύνες. ἐὰν δὲ μὴ πρὸς αὐτοῖς ὦσι τοῖς ἴχνεσι, ἀλλ' ὑπερβάλλωσι, καλεῖν αὐτὰς, οὐ πάλιν, οὐ πάλιν, ὦ κύνες.

κα'. Ἐπει-

tis canibus alium quærat: ſin minus, quam celerrime poteſt, canum more currat, nec deſiſtat ſed ſtudioſe omnia pervadat.

19. Quod ſi rurſum perſequentes leporem canes occurrerint, exclamet: Recte, recte, ô canes, ſequimini canes. Si canes eum longe anteverterint, ac jam citato canum more curſu ad eas pervenire nequeat, ſed ab ipſo curſu aberraverit, aut eas in propinquo vagantes, aut adlatrantes, aut veſtigiis inhærentes videre non poſſit: in tranſcurſu, ad quemcunq; propius venerit, exclamans interroget: Heus tu, vidiſtine canes?

20. Ubi jam cognoverit, tum vero, ſi in veſtigio fuerint, accedens hortetur, toties cujuſque canis nomen viciſſim efferens, quoties poterit; & vocis intentionem formet in ſonum acutum, gravem, parvum, magnum. Præter alias vero incitationes, ſi curſu lepores in monte petantur, ſic etiam hortetur: Belle canes, belle ô canes: Sin autem veſtigiis non inhæreāt, ſed exceſſerint, tunc eas revocet in hunc modum: Retrorſum, retrorſū, ô canes.

21. Sed

κα'. Ἐπειδὰν δὲ προστῶσι τοῖς ἴχνεσι, περιάγειν αὐτὰς, κύκλους πολλοὺς πυκνοὺς ποιούμενον. ὅπου δ' ἂν ᾖ αὐταῖς ἀμαυρὸν τὸ ἴχνος, σημεῖον θέσθαι στοῖχον ἑαυτῷ, καὶ ἀπὸ τούτου συνείρειν, μέχρις ἂν σαφῶς γνωρίσωσιν, ἐγκελεύοντα καὶ θωπεύοντα.

κβ'. Αἱ δ' ἐπειδὰν λαμπρὰ ᾖ τὰ ἴχνη, ἐπιρρίπτουσαι, παραπηδῶσαι, κοινωνοῦσαι, ὑπολαμβάνουσαι, ἐνσημειούμεναι, ὅρους τιθέμεναι ἑαυταῖς γνωρίμους, ταχὺ μεταθεύσονται. ὅταν δὲ οὕτω διὰ τοῦ ἴχνους πυκνῶς διάττωσι, κατέχοντα μὴ κυνοδρομεῖν, ἵνα μὴ ὑπὸ φιλονεικίας ὑπερβάλλωσι τὰ ἴχνη.

κγ'. Ἐπειδὰν δὲ περὶ τὸν λαγῶ ὦσι, καὶ τοῦτο ἐπιδεικνύωνται σαφῶς τῷ κυνηγέτῃ, προσέχειν ὅπως ἂν μὴ ὑποκινῇ εἰς τὸ πρόσθεν, πεφοβημένος τὰς κύνας· αἱ δὲ διαρρίπτουσαι τὰς οὐρὰς, καὶ ἑαυταῖς ἐμπίπτουσαι, καὶ πολλὰ ὑπερπηδῶσαι, καὶ ἐπανακλαγγάνουσαι, ἐπαναίρουσαι τὰς κεφαλὰς, [ὑπερπηδῶσαι,] εἰσβλέπουσαι εἰς τὸν κυνηγέτην, ἐπιγνωρίζουσαι

21. Sed postquam vestigiis adstiterint, circumducat eas, orbes multos crebrosque faciens: & ubicumque obscura ipsis vestigia fuerint, signum sibi statuat, ipsam indaginem: hinc eas & exhortando & blandiendo colligat, donec manifesto vestigia cognoverint.

22. Illæ vero, simul ac clara erunt vestigia, semet in ea conjicientes, adsilientes, consociantes, suspicantes, notantes, fines sibi notos statuentes, cito leporem incursu insequentur. Sed dum illæ sic per ipsum vestigium frequenter huc illucque prosiliunt, venator se reprimens, cum canibus minime currat; ne contentione quadam vestigia prætereant.

23. At quum juxta leporem erunt, idque venatori clare ostendent; observet ne metu canum loco se movens, anterius proruat. Illæ vero cum caudis hinc inde se jactantes, in se ipsas ruentes, saltu se adtollentes sæpius, adlatrantes, capita supra modum erigentes, venatorem inspectantes, hæc vera jam esse vestigia

ζουσαι ἀληθῆ εἶναι ἤδη ταῦτα ὑφ' αὐτῶν, ἀναστήσουσι τὸν λαγὼ, καὶ ἐπίασι κεκλαγγυῖαι.

κδ'. Ἐὰν δ' εἰς τὰς ἄρκυς ἐμπίπτῃ, ἢ ἔξω, ἢ ἐντὸς παρενεχθῇ, καθ' ἓν ἕκαστον τούτων ὁ ἀρκυωρὸς γεγωνείτω. καὶ ἐὰν μὲν ᾖ ἑαλωκὼς, ἕτερον ἐπιζητεῖν· ἐὰν δὲ μὴ, μεταθεῖν χρώμενον τοῖς αὐτοῖς ἐγκελεύμασιν.

κε'. Ἐπειδὰν δὲ μεταθέουσαι αἱ κύνες ἤδη ὑπόκοποι ὦσι, καὶ ᾖ ὀψὲ ἤδη τῆς ἡμέρας, τότε δεῖ τὸν κυνηγέτην τὸν λαγὼ ἀπειρηκότα ζητεῖν, μὴ παραλείποντα μηδὲν ὧν ἡ γῆ ἀνίησιν, ἢ ἔχει ἐφ' ἑαυτῆς, τὰς ἀναστροφὰς ποιούμενον πυκνὰς, ὅπως ἂν μὴ παραλειφθῇ· (κατακλίνεται γὰρ ἐν μικρῷ τὸ θηρίον, καὶ οὐκ ἀνίσταται ὑπὸ κόπου καὶ φόβου) τὰς κύνας ἐπαγόμενον, ἐγκελευόντα, παραμυθούμενον τὸ φιλάνθρωπον, πολλά· τὴν αὐθάδη, ὀλίγα· τὴν μέσην, μέτρια· ἕως ἂν ἢ ἀποκτείνῃ αὐτὸν κατὰ πόδας, ἢ εἰς τὰς ἄρκυς ἐμβάλῃ.

κϛ'. Μετὰ δὲ ταῦτα ἀνελόντα τὰς ἄρκυς καὶ τὰ δίκτυα,

ſtigia per ſeipſas adgnoſcentes, ita demum leporem excitabunt, & cum latratu invadent.

24. Quod ſi lepus in caſſes inciderit, aut exterius, aut interius evaſerit, ad unumquodque horum cuſtos retium clamorem tollat: &, ſi captus fuerit, alius inquiratur; ſin minus, iiſdem ut ante concitationibus utendo, perſequendus erit.

25. Sed ubi jam ſerum diei fuerit, canibus propemodum inſequendo defatigatis; tum vero leporem venator & ipſum curſu defeſſum inquirat, nihil eorum relinquens inexcuſſum, quæ terra producit, aut ſupra ſe continet; ſed crebro ſe huc illuc convertat, ne prætereatur. Procumbit enim paullo momento lepus, nec ſurgit præ laſſitudine ac metu. Secum autem ducat in eum canes, & incitans has, & verbis animos addens, ſiqua hominis eſt ſtudioſa, pluribus; ſi contumax, paucis; ſi has inter media, mediocriter; donec leporem vel è veſtigio perſequens interfecerit, vel in retia compulerit.

26. Poſt hæc autem ſagenis retibuſque

δίκτυα, ἀνατρέψαντα τὰς κύνας, ἀπιέναι ἐκ τοῦ κυνηγεσίου· ἐπιμείναντα, ἐὰν ᾖ θερινὴ μεσημβρία, ὅπως ἂν τῶν κυνῶν οἱ πόδες μὴ κάωνται ἐν τῇ πορείᾳ.

ΚΕΦ. ζ'.

Σκυλακεύειν δὲ αὐτὰς ἐπανιέντα τῶν πόνων τοῦ χειμῶνος, ἵνα ἔχουσαι τὴν ἡσυχίαν πρὸς τὸ ἔαρ ἐπάγωνται τὴν φύσιν γενναίαν. ἡ γὰρ ὥρα πρὸς τὰς αὐξήσεις τῶν κυνῶν κρατίστη αὕτη. εἰσὶ δὲ τετταρεσκαίδεκα ἡμέραι αὗται, ἐν αἷς ἡ ἀνάγκη αὕτη ἔχει.

β'. Ἄγειν δὲ καταπαυομένας, ἵνα θᾶττον ἐγκύμονες γίγνωνται, πρὸς κύνας ἀγαθούς. ἐπειδὰν δὲ ὦσιν ἐπίφοροι, μὴ ἐξάγειν ἐπὶ κυνηγέσιον ἐνδελεχῶς, ἀλλὰ διαλείπειν, ἵνα * μὴ φιλοπονίᾳ διαφθείρωσι. κύουσιν ἑξήκοντ' ἡμέρας.

γ'. Ἐπειδὰν δὲ γένηται τὰ σκυλάκια, ὑπὸ τῇ τεκούσῃ ἐᾶν, καὶ μὴ ὑποβάλλειν ὑφ' ἑτέραν κύνα. αἱ γὰρ θεραπεῖαι αἱ ἀλλό-

busque ſublatis, canes avocet, & à venatione diſcedat; alicubi ſubſiſtens, ſi meridies æſtivus ſit, ne canum in itinere pedes urantur.

CAP. VII.

HYeme ſublevatas laboribus, ad fœturam admittat: ut quietem nactæ, verno tempore ſobolem generoſam producant. Nam hoc anni tempus ad canum incrementa maxime convenit. Sunt autem dies quatuordecim, quibus hac neceſſitate urgentur.

2. Ad egregios vero canes, dum otio & quiete fruuntur, eas admittat, ut celerius concipiant. Ubi jam uterum geſtant, aſſidue venatum eas non educat, ſed aliquo interpoſito ſpatio; ne ſtudio laboris ſibi perniciem adferant. Uterum geſtant diebus ſexaginta.

3. Catulos, quum nati fuerint, ſub ea relinquat, quæ partum edidit; nec alteri cani ſubjiciat. Nam alienæ curationes ad incrementa

ἀλλότριαι οὐκ εἰσὶν αὔξιμοι. τῶν δὲ μητέρων καὶ τὸ γάλα ἀγαθὸν, καὶ τὸ πνεῦμα, καὶ αἱ περιβολαὶ φίλαι.

δ'. Επειδὰν δὲ ἤδη πλανᾶται τὰ σκυλάκια, διδόναι γάλα μέχρι ἐνιαυτοῦ, καὶ οἷς μέλλει τὸν ἅπαντα χρόνον βιώσεσθαι, ἄλλο δὲ μηδέν. αἱ γὰρ βαρεῖαι πλησμοναὶ τῶν σκυλακίων διαστρέφουσι σκέλη, σώμασι νόσους ἐμποιοῦσι, καὶ τὰ ἐντὸς ἄδικα γίγνεται.

ε'. Τὰ δ' ὀνόματ' αὐταῖς τίθεσθαι βραχέα, ἵνα εὐανάκλητα ᾖ. εἶναι δὲ χρὴ τοιάδε· Ψυχὴ, Θυμὸς, Πόρπαξ, Στύραξ, Λόγχη, Λόχος, Φρουρὰ, Φύλαξ, Τάξις, Ξίφων, Φόνεξ, Φλέγων, Αλκὴ, Τεύχων, Υλεὺς, Μήδας, Πόρθων, Σπέρχων, Οργὴ, Βρέμων, Υβρις, Θάλλων, Ρώμη, Ανθεὺς, Ηβη, Γηθεὺς, Χαρὰ, Λεύσων, Αὐγὼ, Πολὺς, Βία, Στίχων, Σπουδὴ, Βρύας, Οἰνὰς, Στεῤῥὸς, Κραυγὴ, Καίνων, Τύρβας, Σθένων, Αἰθὴρ, Ακτὶς, Αἰχμὴ, Νόης, Γνώμη, Στίβων, Ορμή.

ϛ'. Αγειν δὲ τὰς σκύλακας ἐπὶ τὸ κυνηγέσιον, τὰς μὲν θηλείας,

crementa parum conferunt. Matrum vero & lac, & halitus bonus est, & complexus grati.

4. Quum jam oberrant catuli, lac eis ad annum usque præbeatur, cum illis escis, quibus omnem ætatem victitaturi sunt, ac præterea nihil. Graves enim repletiones catulorum crura distorquent, morbos corporibus ingenerant, interiora minus proba reddunt.

5. Brevia vero nomina eis indantur, ut evocari facile possint. Et esse hujusmodi debent: Psyche, Thymus, Porpax, Styrax, Lonche, Lochos, Phrura, Phylax, Taxis, Xiphon, Phonex, Phlegon, Alce, Teuchon, Hyleus, Medas, Porthon, Sperchon, Orge, Bremon, Hybris, Thallon, Rhome, Antheus, Hebe, Getheus, Chara, Leuson, Augo, Polys, Bïa, Stichon, Spude, Bryas, OEnas, Sterros, Crauge, Cænon, Tyrbas, Sthenon, Æther, Actis, Æchme, Noes, Gnome, Stribon, Horme.

6. Ad venationem vero catulos educat, feminas mensium octo;

θηλείας, ὀκταμήνους· τοὺς δὲ ἄῤῥενας, δεκαμήνους. πρὸς δὲ τὰ ἴχνη τὰ εὐναῖα μὴ λύειν, ἀλλ' ἔχοντα ὑφειμένας μακροῖς ἱμᾶσιν, ἀκολουθεῖν ταῖς κυσὶν ἰχνευούσαις ἐῶντα αὐτὰς διατρέχειν τὰ ἴχνη.

ζ'. Καὶ ἐπειδὰν ὁ λαγὼς εὑρίσκηται, ἐὰν μὲν καλαὶ ὦσι πρὸς τὸν δρόμον τὰ εἴδη, μὴ ἀνιέναι εὐθύς· ἐπειδὰν δὲ προλάβῃ ὁ λαγὼς τῷ δρόμῳ, ὥστε μὴ ἐφορᾶν ἔτι αὐτὸν, τὰς σκύλακας ἱέναι.

η'. Ἐὰν γὰρ ὁμόθεν καλὰς τὰ εἴδη οὔσας καὶ εὐψύχους πρὸς τὸν δρόμον ἐπιλύῃ, ὁρῶσαι τὸν λαγὼ, ἐντεινόμεναι ῥήγνυνται, οὔπω ἔχουσαι συνεστῶτα τὰ σώματα. διαφυλάττειν οὖν δεῖ τοῦτο τὸν κυνηγέτην.

θ'. Ἐὰν δὲ αἰσχραὶ ὦσι πρὸς τὸν δρόμον, οὐδὲν κωλύει ἱέναι. εὐθὺς γὰρ δὴ ἀνέλπιστοι οὖσαι τοῦ ἑλεῖν, οὐ πείσονται τοῦτο. * τὰ δὲ δρομαῖα, ἕως ἀνέλθωσι τῷ ἴχνει μεταθεῖν ἐᾶν. ἁλισκομένου δὲ τοῦ λαγὼ διδόναι αὐταῖς ἀναῤῥηγνύναι.

ι'. Ἐπει-

octo; mares, decem. Ad veſtigia cubilium eos non ſolvat, ſed laxatos longis retinens loris, canes veſtigantes ſubſequatur, & catulos per veſtigia currere ſinat.

7. Ubi jam lepus reperitur, ſiquidem catulorum ſpecies ad curſum egregie comparata ſit, non ſtatim eos dimittat: ſed ubi curſu lepus aliquod ſpatium anticipaverit, ut jam non amplius eum intueatur, ibi tum catuli laxandi erunt.

8. Nam ſi ſpecie præditos egregia, & ad curſum animoſos, comminus ſolvat; intuentes hi leporem, præ contentione rumpuntur, quum necdum habeant corpora ſolide compacta. Quapropter hoc venatori cavendum.

9. Sin ſpecies turpis ad curſum parum idoneas arguat, nihil impedit quominus abeant. Non enim malum hoc illis accidet, quum ab initio parum ſpei ſit, futurum, ut leporem capiant. Veſtigia vero, quæ curſu lepus impreſſit, catulos inſequi ſinat, donec eum invenerint. Ubi lepus ab eis capitur, diſcerpendum iiſdem tradat.

 10. Quum

ι΄. Επειδὰν δὲ μηκέτι θέλωσι παρεσμένειν ταῖς ἄρκυσιν, ἀλλ᾽ ἀποσκεδάννύωνται, ἀναλαμβάνειν ἕως ἂν ἐθισθῶσιν εὑρίσκειν προσθέουσαι τὸν λαγώ· * μὴ ἐν κόσμῳ ἀεὶ τοῦτο ζητοῦσαι, τελευτῶσαι γίγνωνται ἔκκυνοι, πονηρὸν μάθημα.

ια΄. Πρὸς δὲ ταῖς ἄρκυσι διδόναι τὰ σιτία αὐταῖς, ἕως ἂν νέαι ὦσιν, *ὅταν ἀναιρῶνται· ἵν᾽ ἐὰν πλανηθῶσιν ἐν τῷ κυνηγεσίῳ δι᾽ ἀπειρίαν, πρὸς τοῦτο ἐπανιοῦσαι σώζωνται. ἀφεθήσονται δὲ τούτου, ὅταν ἤδη τῷ θηρίῳ ἔχωσι πολεμίως, ἐπιμέλειαν δὲ ποιήσονται τούτου μᾶλλον, ἢ ἐκείνου φροντίζειν. χρὴ δὲ καὶ ὡς τὰ πολλὰ διδόναι τὰ ἐπιτήδεια ταῖς κυσὶν αὐτόν. ὅταν γὰρ μὴ ἐνδεεῖς ὦσι, τούτου τὸν αἴτιον οὐκ ἴσασιν· ὅταν ἐπιθυμοῦσαι λάβωσι, τὸν διδόντα στέργουσιν.

ΚΕΦ. η΄.

Ιχνεύεσθαι δὲ τοὺς λαγὼς, ὅταν νίφῃ ὁ θεὸς, ὥστε ἠφανίσθαι τὴν γῆν. εἰ δ᾽ ἐνέσται μελάγχειμα, δυσζήτητος ἔσται.

10. Quum ad retia manere nolunt, ſed palantes hinc inde diſperguntur; revocet eos, donec adcurrentes invenire leporem adſueſcant: ne ſemper eum abſque ordine quærentes, tandem canum à ſocietate ſe removeant; quod in eis documentum non probatur.

11. Itaque dum juvenes ſunt, ad caſſes eis eſcas objiciat, ubi quid invenerint: ut ſi propter imperitiam in venatu aberraverint, ad eſcas redeuntes non amittantur. Hoc vero non amplius faciundum, quum infeſtis erunt in feram animis, & hanc magis adpetent, quam eſcas. Plerumque vero canibus ipſe venator cibos objiciet. Nam quum eis non indigent, paſcentem non agnoſcunt: at quum avide cibum adpetentes, accipiunt; diligunt eum qui offert.

CAP. VIII.

Lepores inveſtigandi ſunt, quum nix ita ceciderit, ut terram operiat. Quippe ſi nivi loca quædam hieme nigricantia ſint

ἔσται. ἔτι δέ, ὅταν μὲν ἐπινίφῃ, καὶ ᾖ βόρρειον, τὰ ἴχνη ἔξω πολὺν χρόνον δῆλα. οὐ γὰρ ταχὺ συντήκεται. ἐὰν δὲ νότιός τε ᾖ, καὶ ἥλιος ἐπιλάμπῃ, ὀλίγον χρόνον. ταχὺ γὰρ διαχεῖται. ὅταν δ' ἐπινίφῃ συνεχῶς, οὐδὲν δεῖ. ἐπικαλύπτει γάρ. οὐδὲ ἂν πνεῦμα ᾖ μέγα. συμφοροῦν γὰρ τὴν χιόνα, ἀφανίζει.

β'. Κύνας μὲν οὖν οὐδὲν δεῖ ἔχοντα ἐξιέναι ἐπὶ τὴν θήραν ταύτην. ἡ γὰρ χιὼν καίει τῶν κυνῶν τὰς ῥῖνας, τοὺς πόδας, τὴν ὀσμὴν τοῦ λαγὼ ἀφανίζει, διὰ τὸ ὑπερπαγές. λαβόντα δὲ τὰ δίκτυα, μετ' ἄλλου ἐλθόντα πρὸς τὰ ὄρη παριέναι ἀπὸ τῶν ἔργων, καὶ ἐπειδὰν λάβῃ τὰ ἴχνη, πορεύεσθαι κατὰ ταῦτα.

γ'. Ἐὰν δ' ἐπιλλαγμένα ᾖ, ἐκ τῶν αὐτῶν πάλιν εἰς τὰ αὐτὰ ἥκοντα, κύκλους ποιούμενον, ἐκπεριιέναι τὰ τοιαῦτα, ζητοῦντα ὅποι ἔξεισι. πολλὰ δὲ πλανᾶται ὁ λαγώς, ἀπορούμενος ὅπου κατακλιθῇ. ἅμα δὲ καὶ εἴθισται τεχνάζειν τῇ βαδίσει, διὰ τὸ διώκεσθαι ἀεὶ ἀπὸ τῶν τοιούτων.

δ'. Ἐπεὶ

ſint interjecta, difficilis erit inveſtigatu lepus. Quum ningit flante borea, veſtigia diu manifeſta exſtant. Non enim cito liqueſcunt; Sin & auſter ſpiret, ac ſolis ſplendor accedat, pauxillum durant, cito diffluentia. Quum vero nix continuo cadit, veſtigatione nulla utendum. Nix enim veſtigia tegit. Nec, quum magni ventorum flatus ſunt. Quippe nivem congerens ventus, veſtigia delet.

2. Quapropter ad hujuſmodi venationem cum canibus exeundum non eſt, quandoquidem nix & canum nares adurit, & pedes, & leporis odorem gelu nimio cogit evaneſcere: ſed ſumtis retibus venator, alio ſibi adjuncto, cultis à locis ad montes tranſeat, & quum veſtigia deprehenderit, ſecundum ea progrediatur.

3. Si variata ſint, ex iiſdem, in eadem rediens, multis ambagibus circumeat, & exitum eorum quærat. Non parum vero lepus oberrat, dubius ubi procumbat. Simul in ipſo inceſſu, quodam uti adſuevit artificio, quod hinc peti perſequendo ſoleat.

4. Ubi

δ'. Ἐπεὶ δ' ἂν φανῇ τὸ ἴχνος, προϊέναι εἰς τὸ πρόσθεν. ἄξει δὲ ἢ πρὸς σύσκιον τόπον, ἢ πρὸς ἀπόκρημνον. τὰ γὰρ πνεύματα ὑπερφορεῖ τὴν χιόνα ὑπὲρ τῶν τοιούτων. παραλείπεται οὖν εὐνάσιμα πολλά. ζητεῖ δὲ τοῦτο.

ε'. Ἐπειδὰν δὲ τὰ ἴχνη πρὸς τοιαῦτα φέρῃ, μὴ προσιέναι ἐγγύς, ἵνα μὴ ὑποκινῇ, ἀλλὰ κύκλῳ ἐκπεριϊέναι. ἐλπὶς γὰρ, αὐτοῦ εἶναι. δῆλον δ' ἔσται. τὰ γὰρ ἴχνη ἀπὸ τῶν τοιούτων οὐδαμοῦ περάσει.

ϛ'. Ἐπειδὰν δὲ ᾖ σαφὲς, ὅτι αὐτοῦ ἐστιν, ἐᾶν. μενεῖ γάρ. ἕτερον δὲ ζητεῖν, πρὶν τὰ ἴχνη ἄδηλα γενέσθαι, τῆς ὥρας ἐνθυμούμενον, ὅπως, ἂν καὶ ἑτέρους εὑρίσκῃ, ἔσται ἡ λειπομένη ἱκανὴ περιστήσασθαι.

ζ'. Ἥκοντος δὲ τούτου, περιτείνειν αὐτῶν ἑκάστῳ τὰ δίκτυα τὸν αὐτὸν τρόπον, ὅνπερ ἐν τοῖς μελαγχείμοις, περιλαμβάνοντα ἐντὸς, πρὸς ὅτῳ ἂν ᾖ. καὶ ἐπειδὰν ἑστηκότα ᾖ, προσελθόντα κινεῖν.

η'. Ἐὰν

4. Ubi vestigium adparuerit, antrorsum progrediatur. Deducetur autem ad locum vel opacum, vel abruptum; quod venti nivem trans ejusmodi loca ferant. Itaque leporinis cubilibus illic idonea loca multa relinquuntur, quæ quidem lepus ipse quæritat.

5. Quum vero vestigia venatorem ad hujusmodi loca ducent, non accedat propius, ne lepus se loco moveat; sed per ambages circumeat. Nam spes est, illic esse leporem: statimque parebit hoc, quum inde vestigia nullum in alium se locum ulterius porrigent.

6. Ubi constiterit, leporem illic esse; relinquat eum ibidem, veluti mansurum; & alium quærat ante quam evanescant vestigia; temporis apud animum rationem habens, ut si alios quoque reperiat, reliquum diei leporibus indagine cingendis sufficiat.

7. Quum satis temporis erit, retia singulis obtendat, eodem modo quo in locis nigricantibus; ita quidem, ut ubicumque fuerit, includatur. Retibus autem jam erectis, accedens leporem excitet.

8. Quod

η'. Ἐὰν δὲ ἐκκυλισθῇ ἐκ τῶν δικτύων, μεταθεῖν κατὰ τὰ ἴχνη. ὁ δὲ ἀφίξεται πρὸς ἕτερα τοιαῦτα χωρία, ἐὰν μὴ ἄρα ἐν αὐτῇ τῇ χιόνι πιέσῃ ἑαυτόν. σκεψάμενον οὖν δεῖ ὅπου ἂν ᾖ, περιΐστασθαι. ἐὰν δὲ μὴ ὑπομένῃ, μεταθεῖν. ἁλώσεται γὰρ καὶ ἄνευ τῶν δικτύων. ταχὺ γὰρ ἀπαγορεύει, διὰ τὸ βάθος τῆς χιόνος, καὶ διὰ τὸ, κάτωθεν τῶν ποδῶν λασίων ὄντων, προσέχεσθαι αὐτῷ ὄγκον πολύν.

ΚΕΦ. θ'.

ΕΠΙ δὲ τοὺς νεβροὺς καὶ τὰς ἐλάφους κύνας ἔστω Ἰνδικάς. εἰσὶ γὰρ ἰσχυραὶ, μεγάλαι, ποδώκεις, οὐκ ἄψυχοι. ἔχουσαι δὲ ταῦτα, ἱκαναὶ γίγνονται πονεῖν. τοὺς μὲν οὖν νεογνοὺς τῶν νεβρῶν τοῦ ἦρος θηρᾶν. ταύτην γὰρ τὴν ὥραν γίγνονται.

β'. Κατασκέψασθαι δὲ πρότερον προσελθόντα εἰς * τὰς ὀργάδας, οὗ εἰσὶν ἔλαφοι πλεῖστοι. ὅπου δ' ἂν ὦσιν, ἔχοντα τὸν

κυνα-

8. Quod si fuerit elapsus è retibus, per vestigia sequatur: quoniam ad alia lepus ejusmodi loca perveniet, nisi forte in ipsam nivem se depresserit. Itaque venator, ubi consideraverit, quo loco sit, retibus eum cinget: si non subsistat, cursu insequetur. Nam sine retibus etiam capietur. Quippe celeriter animum despondet, tum ob nivis altitudinem, tum etiam propterea quod quum inferius ei pedes hirsuti sint, magna nivis moles eis adhæreat.

CAP. IX.

HInnulis cervisque venandis Indicæ canes adhibendæ sunt. Nam eæ robustæ, magnæ, veloces sunt, nec pusillanimes: & quum tales sint, ad labores quoque sufficiunt. Ac teneræ quidem ætatis hinnulos verno tempore venetur: tunc enim nascuntur.

2. Sed primum lucos ingressus, in quibus cervi plurimi sunt, omnia contempletur, & ad locum, in quo fuerint, canum magister

κυναγωγὸν τὰς κύνας καὶ ἀκόντια, πρὸ ἡμέρας ἐλθόντα εἰς τὸν τόπον τοῦτον, τὰς μὲν κύνας δῆσαι ἄποθεν ἐκ τῆς ὕλης, ὅπως μή, ἂν ἴδωσι τὰς ἐλάφους, ὑλακτῶσιν· αὐτὸν δὲ σκοπιωρεῖσθαι.

γ΄. Ἅμα δὲ τῇ ἡμέρᾳ ὄψεται ἀγούσας τοὺς νεβροὺς πρὸς τὸν τόπον, οὗ ἂν μέλλῃ ἑκάστη τὸν ἑαυτῆς εὐνάσειν. κατακλίνασαι δέ, καὶ γάλα δοῦσαι, καὶ διασκεψάμεναι μὴ ὁρῶνται ὑπό τινος, φυλάσσει τὸν αὑτῆς ἑκάστη, ἀπελθοῦσα εἰς τὸ ἀντιπέρας.

δ΄. Ἰδόντα δὲ ταῦτα τὰς μὲν κύνας λῦσαι, αὐτὸν δὲ λαβόντα ἀκόντια προϊέναι ἐπὶ τὸν νεβρὸν τὸν πρῶτον, ὅπου εἶδεν εὐνασθέντα τῶν τόπων ἐνθυμούμενον, ὅπως μὴ διαμαρτήσεται. πολλοὶ γὰρ ἀλλοιοῦνται τῇ ὄψει ἐγγὺς προσιόντι, ἢ οἷοι πόρρωθεν ἔδοξαν εἶναι.

ε΄. Ἐπειδὰν δὲ ἴδῃ αὐτόν, προσιέναι ἐγγύς. ὁ δὲ ἕξει ἀτρέμα, πιέσας ὡς ἐπὶ γῆν, καὶ ἐάσει ἀνελέσθαι, ἐὰν μὴ ἐφυσμένος ᾖ, βοῶν μέγα. τούτου δὲ γενομένου οὐ μενεῖ. ταχὺ

gister cum canibus & jaculis ante lucem veniens, canes à ſylva procul religet; ne, ſi cervam viderint, latratus emittant: ipſe de ſpecula proſpiciat.

3. Videbit autem ſimul, ac illuxerit, cervas illuc ducentes hinnulos, ubi ſuum quælibet in cubili eſt collocatura. Poſtquam eos heic reclinarunt humi, & lactarunt, & hinc inde conſiderarunt, ne conſpiciantur à quoquam: ita deinde in locum adverſum diſcedentes, ſuum ſingulæ cuſtodiunt.

4. Hæc ubi viderit, canes, ſolvat: ipſe ſumtis jaculis, ad primum hinnulum progreditor, ad animum revocans, ubi locorum in cubili reclinatum conſpexerit, ne forte aberret. Nam pleraque loca videntur adſpectui propius accedentis alia quam cujuſmodi de longinquo paruerant.

5. Quum autem hunc viderit, accedat propius. Ille immotus manebit, humum verſus ſe deprimens, & ſe tolli ſinet, niſi ſit imbre madidus, & valde clamet. Id enim ſi fiat, non manebit. Nam

ταχὺ γὰρ τὸ ὑγρὸν, ὃ ἔχει ἐν ἑαυτῷ, ὑπὸ τοῦ ψυχροῦ συνιστάμενον, ποιεῖ ἀποχωρεῖν αὐτόν.

ϛʹ. Ἁλώσεται δὲ ὑπὸ τῶν κυνῶν σὺν πόνῳ διωκόμενος. λαβόντα δὲ δοῦναι τῷ ἀρκυώρῳ. ὁ δὲ βοήσεται· ἡ δ' ἔλαφος τὰ μὲν ἰδοῦσα, τὰ δ' ἀκούσασα, ἐπιδραμεῖται τῷ ἔχοντι αὐτὸν, ζητοῦσα ἀφελέσθαι.

ζʹ. Ἐν δὲ τούτῳ τῷ καιρῷ ἐγκελεύειν ταῖς κυσὶ, καὶ χρῆσθαι τοῖς ἀκοντίοις. κρατήσαντα δὲ τούτου πορεύεσθαι καὶ ἐπὶ τοὺς ἄλλους, καὶ τῷ αὐτῷ εἴδει πρὸς τοὺς αὐτοὺς χρῆσθαι τῆς θήρας.

ηʹ. Καὶ οἱ μὲν νέοι τῶν νεβρῶν οὕτως ἁλίσκονται· οἱ δὲ ἤδη μεγάλοι, χαλεπῶς. νέμονται γὰρ μετὰ τῶν μητέρων καὶ ἑτέρων ἐλάφων· καὶ ἀποχωροῦσιν ὅταν διώκωνται ἐν μέσαις, ὁτὲ δὲ πρόσθεν, ἐν δὲ τῷ ὄπισθεν ὀλιγάκις.

θʹ. Αἱ δὲ ἔλαφοι τὰς κύνας, ὑπὲρ αὐτῶν ἀμυνόμεναι, καταπατοῦσιν· ὥστ' οὐκ εὐάλωτοί εἰσιν, ἐὰν μὴ προσμίξας τις εὐθὺς διασκεδάσῃ αὐτὰς ἀπ' ἀλλήλων, ὥστε μονωθῆναί τινα αὐτῶν βίᾳ.

ιʹ. Θέον-

Nam humor ille, quem intra se continet, præ frigore concrescens, ut celeriter inde se proripiat, efficit.

6. Capietur autem à canibus cum labore insequentibus. Captum custodi retium tradat. Tollet ille clamorem, & cerva partim conspectis his, partim auditis, cursu tenentem invadet, & eripiendi viam quæret.

7. Interea vero canes incitet venator, & jaculis utatur. Hunc ubi redegerit in potestatem, ad alios tendat; in quos eodem genere venationis utetur.

8. Et juvenes quidem hinnuli, hoc modo capientur: at vero jam grandiusculi, difficilius. Quippe cum matribus aliisque cervis pascuntur, & in eos medios se recipiunt, quoties ab insequentibus cursu petuntur: interdum ante illos procurrunt, à tergo rarius esse solét.

9. Cervæ autem, hos propugnandi studio, canes proterunt & proculcant. Itaq; captu difficiles sunt, nisi quis statim irruerit, & feras à se invicem ita dissipaverit; ut solus hinnulorum aliquis per vim desertus maneat.

T 10. Eo

ι'. Θέοντος δὲ τούτου τὸν μὲν πρῶτον δρόμον αἱ κύνες ἀπολείπονται. ἥτε γὰρ ἀπουσία τῶν ἐλάφων ποιεῖ αὐτὸν περίφοβον, τό, τε τάχος οὐδενὶ ἐοικός ἐστι τῶν τηλικούτων νεβρῶν. δευτέρῳ δὲ καὶ τρίτῳ δρόμῳ ταχὺ ἁλίσκονται. τὰ γὰρ σώματα αὐτῶν, διὰ τὸ ἔτι νεαρὰ εἶναι, τῷ πόνῳ οὐ δύνανται ἀντέχειν.

ια'. Ἵστανται δὲ καὶ ποδοστράβαι ταῖς ἐλάφοις ἐν τοῖς ὄρεσι, περὶ τοὺς λειμῶνας, καὶ τὰ ῥεῖθρα, καὶ τὰς νάπας, ἐν ταῖς διόδοις καὶ τοῖς ἔργοις, πρὸς ὅ, τι ἂν προσίῃ.

ιβ'. Χρὴ δὲ εἶναι τὰς ποδοστράβας σμίλακος πεπλεγμένας, μὴ περιφλοίους, ἵνα μὴ σήπωνται, τὰς δὲ στεφάνας εὐκύκλους ἐχούσας, καὶ τοὺς ἥλους ἐναλλὰξ σιδηροῦς τε καὶ ξυλίνους ἐγκαταπεπλεγμένους ἐν τῷ πλοκάμῳ· μείζους δὲ τοὺς σιδηροῦς, ὅπως ἂν οἱ μὲν ξύλινοι ὑπείκωσι τῷ ποδί, οἱ δὲ πιέζωσι.

ιγ'. Τὸν δὲ βρόχον τοῦ σειρίδος τοῦ ἐπὶ τῆς στεφάνης ἐπιτεθησόμενον, πεπλεγμένον σπάρτου, καὶ αὐτὴν τὴν σειρίδα. ἔστι γὰρ ἀσηπτότατον τοῦτο. ὁ δὲ βρόχος αὐτὸς ἔστω στιφρὸς, καὶ ἡ σειρίς.

10. Eo vero currente, canes à tergo cursu primo relinquuntur. Nam & valde formidolosum reddit absentia cervarum, & hinnulorum id ætatis celeritas alia nulla cum celeritate comparari potest. Secundo autem tertiove cursu, cito capiuntur. Quippe corpora illorum, quum adhuc recentia sint ac tenera, laborem sustinere nequeunt.

11. Solent etiam collocari tendiculæ cervis, in montibus, circa prata, rivos, ac flumina, saltus ac valles, ad viarum aditus atque transitus, in agris, quocumque adierint.

12. Tendiculas autem oportet è taxo contextas esse, delibratas, ne putrescant; & habere coronas plane orbiculares, clavis alternatim ferreis atque ligneis in reste defixis ac innexis: inter quos majores sint ferrei, ut pedi cedant lignei, & eundem ferrei premant.

13. Laqueus autem funiculi coronæ imponendi, cum ipso funiculo, nexus è sparto sit. Quippe putredini hoc minime obnoxium est. Ipse laqueus & funiculus firmi sint.

σειρίς. τὸ δὲ ξύλον τὸ ἐξαπτόμενον, ἔστω μὲν δρυὸς ἢ πρίνου, μέγεθος τρισπίθαμον, περίφλοιον, πάχος παλαιστῆς.

ιδ'. Ἱστάναι δὲ τὰς ποδοστράβας διελόντα τῆς γῆς βάθος πενταπάλαιστον, περιφερὲς δὲ τοῦτο, καὶ ἄνωθεν ἴσον ταῖς στεφάναις τῶν ποδοστραβῶν, εἰς δὲ τὸ κάτω ἀμειβόμενον στενότητι. διελεῖν δὲ καὶ τῇ σειρίδι καὶ τῷ ξύλῳ τῆς γῆς ὅσον ἕξεσθαι ἀμφοῖν.

ιε'. Ποιήσαντα δὲ ταῦτα, ἐπὶ μὲν τὸ βάθος τὴν ποδοστράβην ἐπιθεῖναι κατωτέρω ἰσόπεδον, περὶ δὲ τὴν στεφάνην τὸν βρόχον τῆς σειρίδος· καὶ αὐτὴν καὶ τὸ ξύλον καθέντα εἰς τὴν χώραν τὴν ἑκατέρου, τῇ στεφάνῃ ἐπιθεῖναι ἀκίδας ἀτρακτυλίδος μὴ ὑπερτεινούσας εἰς τὸ ἔξω, ἐπὶ δὲ τούτων πέταλα λεπτά, ὧν ἂν ἡ ὥρα ᾖ.

ιϛ'. Μετὰ δὲ τοῦτο τῆς γῆς ἐπιβαλεῖν ἐπ' αὐτὰ πρῶτον μὲν τὴν ἐπιπολῆς ἐξαιρεθεῖσαν ἐκ τῶν ὀρυγμάτων, ἄνωθεν δὲ ταύτης γῆς στερεᾶς τῆς ἄποθεν, ἵνα ᾖ τῇ ἐλάφῳ ὅτι μάλιστα ἄδηλος ἡ στάσις· τὴν τε περιοῦσαν τῆς γῆς ἀποφέρειν

πόρρω

sint. Lignum, quod funiculo adligabitur, quernum, aut ilignum esto; longitudine trium spithamarum, crassitudine unius palmi, corticemque suum adhuc habeat.

14. Tendiculas vero collocet aperta scrobe ad quinque palmos in orbem, superne coronis tendicularum æqualem, inferius subinde angustiorem; similiter funiculo & ligno scrobem aperiat, quanta demittendo utrique conveniat.

15. Hæc ubi fecerit, in fundum scrobis inferius tendiculam æquabili situ imponat; laqueum vero funiculi circumponat coronæ. Et quum funiculum atque lignum suo utrumque loco demiserit, aculeatas atractylidis spinas imponat coronæ, non nimium tendentes extrinsecus, & super eas folia minuta spargat, quæ tunc anni tempus habebit.

16. Postea vero terra eis superinjiciatur primum è superficie scrobium egesta, & super eam solida terra procul inde sumta, ut cervæ quammaxime occultus sit locus: quodque terræ supererit è

 scro-

πόρρω ἀπὸ τῆς ποδοστράβης. ἐὰν γὰρ ὀσφραίνηται νεωστὶ κεκινημένης, δυσωπεῖται. ταχὺ δὲ ποιεῖ τοῦτο.

ιζ΄. Ἐπισκοπεῖν δὲ ἔχοντα τὰς κύνας, τὰς μὲν ἐν τοῖς ὄρεσιν ἑστώσας, μάλιστα μὲν ἕωθεν, χρὴ δὲ καὶ τῆς ἄλλης ἡμέρας· ἐν δὲ τοῖς ἔργοις, πρῴ. ἐν μὲν γὰρ τοῖς ὄρεσιν οὐ μόνον τῆς νυκτὸς ἁλίσκονται, ἀλλὰ καὶ μεθ᾽ ἡμέραν, διὰ τὴν ἐρημίαν· ἐν δὲ τοῖς ἔργοις, τῆς νυκτὸς, διὰ τὸ μεθ᾽ ἡμέραν περιφοβεῖσθαι τοὺς ἀνθρώπους.

ιη΄. Ἐπειδὰν δὲ εὕρῃ ἀνεστραμμένην τὴν ποδοστράβην, μεταθεῖν ἐπιλύσαντα τὰς κύνας, καὶ ἐγκελεύσαντα, κατὰ τὸν ὁλκὸν τοῦ ξύλου, σκοπούμενον ὅπου ἂν φέρηται. ἔσται δὲ οὐκ ἄδηλον ἐπὶ τὸ πολύ. οἵ τε γὰρ λίθοι ἔσονται κεκινημένοι, τά τ᾽ ἐπισύρματα τοῦ ξύλου καταφανῆ ἐν τοῖς ἔργοις. ἐὰν δὲ τραχέας τόπους διαπερᾷ, αἱ πέτραι ἕξουσι τὸν φλοιὸν τοῦ ξύλου ἀφηρπασμένον, καὶ κατὰ τοῦτο ῥᾴους αἱ μεταδρομαὶ ἔσονται.

ιθ΄. Ἐὰν μὲν οὖν τοῦ προσθίου ποδὸς ἁλῷ, ταχὺ ληφθήσεται.

ſcrobibus, procul à tendicula deportetur. Etenim ſi motæ recenter humi odorem cerva perceperit, quod facere ſtatim ſolet, hæſitabunda reſtitat.

17. Obſervet autem venator, cum canibus, cervas quæ in montibus degunt, matutino præſertim, nec minus etiam reliquo diei tempore; quæ cultis in locis, ante lucem. Quippe non tantum noctu capiuntur in montibus, ſed etiam interdiu, propter ſolitudinem: in locis autem cultis, noctu; idque propterea, quod homines admodum interdiu cervæ metuant.

18. Quum autem tendiculam everſam repererit, ſolutis & incitatis canibus inſequatur, qua lignum tractum erit; & quonam id tendat, obſervet. Plerumq; vero non obſcurum erit. Nam & lapides erunt loco moti, & ligni tractus veſtigia manifeſta in arvis exſtabunt. Si per aſpera loca feratur, delibrati ligni cortex ſaxis adhærebit, & hoc ipſo ſigno facilior erit inſecutio.

19. Quod ſi fera pede capta fuerit anteriori, cito in poteſtatem veniet.

σεται. (ἐν γὰρ τῷ δρόμῳ πᾶν τὸ σῶμα τύπτει καὶ τὸ πρόσωπον.) ἐὰν δὲ τοῦ ὄπισθεν, ἀφελκόμενον τὸ ξύλον ἐμποδὼν ὅλῳ ἐπὶ τῷ σώματι. ἐνίοτε δὲ καὶ εἰς διχρόας τῆς ὕλης ἐμπίπτει φερόμενον, καὶ ἐὰν μὴ ἀπορρήξῃ τὴν σειρίδα, καταλαμβάνεται αὐτοῦ.

κ'. Χρὴ δ' ἐὰν οὕτως ἕλῃ, ἢ παρειγενόμενος πόνῳ, ἐὰν μὲν ᾖ ἄῤῥην, μὴ προσιέναι ἐγγύς. τοῖς γὰρ κέρασι παίει, καὶ τοῖς ποσίν. ἄποθεν οὖν ἀκοντίζειν. ἁλίσκονται δὲ καὶ ἄνευ ποδοστράβης διωκόμεναι, ὅταν ᾖ ἡ ὥρα θερινή. ἀπαγορεύουσι γὰρ σφόδρα, ὥστε ἑστῶσαι ἀκοντίζονται. ῥίπτουσι δὲ καὶ εἰς τὴν θάλασσαν, ἐὰν κατέχωνται, καὶ εἰς τὰ ὕδατα ἀπορούμεναι· ὁτὲ δὲ διὰ δύσπνοιαν πίπτουσι.

ΚΕΦ. ι'.

ΠΡὸς δὲ τὸν ὗν τὸν ἄγριον κεκτῆσθαι κύνας Ἰνδικὰς, Κρητικὰς, Λοκρίδας, Λακαίνας· ἄρκυς, ἀκόντια,

veniet. Nam lignum inter currendum corpus totum & os percutit: ſin poſteriore, lignum, quod ægre trahitur, univerſum corpus impediet. Nonnunquam & in bifida quædam per ſylvam incidit, dum ita trahitur; & niſi funiculum abruperit, illic deprehenditur.

20. Quod ſi fera vel hoc modo vel laſſitudine victa, in poteſtatem venerit, & mas ſit; propius adiri non debet. Nam & cornibus ferit, & pedibus. Itaque jaculis eminus utendum. Capiuntur etiam ſine tendiculis, quum quis cervas æſtate perſequitur. Quippe curſu tam vehementer exanimantur, ut etiam ſtantes jaculis ſe conficiendas exhibeant. Itidem ubi tenentur, tam in mare quam alias aquas ſe conjiciunt: nonnunquam deficiente ſpiritu, concidunt.

CAP. X.

AT in aprum ſylveſtrem canes comparet Indicas, Creteníes, Locrenſes, Lacænas: caſſes, jacula,

ἀκόντια, προβόλια, ποδοστράβας· πρῶτον μὲν οὖν χρὴ εἶναι τὰς κύνας ἐκ τούτου τοῦ γένους, μὴ τὰς ἐπιτυχούσας, ἵνα ἕτοιμοι ὦσι πολεμεῖν τῷ θηρίῳ.

β'. Αἱ δὲ ἄρκυς λίνων μὲν τῶν αὐτῶν, ὧνπερ αἱ τῶν λαγῳῶν· πέντε καὶ τετταράκοντα λίνοι ἐκ τριῶν τόνων, ἕκαστος δὲ τόνος ἐκ πεντεκαίδεκα λίνων· ἀπὸ δὲ τοῦ κορυφαίου τὸ μέγεθος δεκάμματοι, τὸ δὲ βάθος τῶν βρόχων πυγόνος· οἱ δὲ περίδρομοι, ἡμιόλιοι τοῦ τῶν ἀρκύων πάχους. ἐπ' ἄκροις δὲ δακτυλίους ἐχέτωσαν, ὑφείσθωσαν δὲ ὑπὸ τοὺς βρόχους, τὸ δὲ ἄκρον αὐτῶν ἐκπεράτω ἔξω διὰ τῶν δακτυλίων· ἱκαναὶ δὲ πεντεκαίδεκα.

γ'. Τὰ δὲ ἀκόντια ἔστω παντοδαπά, ἔχοντα τὰς λόγχας εὐπλατεῖς καὶ ξυρήκεις, ῥάβδους δὲ στιφράς. τὰ δὲ προβόλια, πρῶτον μὲν λόγχας ἔχοντα τὸ μὲν μέγεθος πενταπαλαίστους, κατὰ δὲ μέσον τοῦ αὐλοῦ κνώδοντας ἀποκεχαλκευμένους, στιφρούς, καὶ τὰς ῥάβδους κρανεΐνας δορατοπαχεῖς. αἱ δὲ ποδοστράβαι, ὅμοιαι ταῖς τῶν ἐλάφων. συγκυνηγέται

δὲ

jacula, venabula, tendiculas. Ac primum quidem canes ex hoc genere oportet esse minime vulgares, ut ad pugnandum cum fera paratæ sint, ac promtæ.

2. Sagenas ex iisdem filis, quibus ad leporum venationem utendum diximus, necti oportet: filis quinque & quadraginta, funibus tribus; & unusquisque funis quindecim filis constet. Longitudo nodos habeat à summo fune decem, latitudo laqueorum sit cubiti minoris. Funiculi circuitores retium crassitiem habeant sesquialteram, & in fastigiis anulos laqueis suppositos, extremaque horum per anulos exeant. Sufficient vero quindecim.

3. Jacula varia sint, quæ spicula habeant satis lata & acuta novaculæ instar, hastiliaque firma. Venabula vero primum habeant spicula quinum palmorum, & ubi spiculum hastili adnectitur, illic in medio dentalia vel aures sint æratæ, firmæ; ipsaque hastilia cornea sint, crassitudine hastæ. Tendiculæ, quales cervorum, sunto. Sed venationis co-

mites

δ' ἔστωσαν. τὸ γὰρ θηρίον μόλις καὶ ὑπὸ πολλῶν ἁλίσκεται. ὅπως δὲ δεῖ τούτων ἑκάστῳ χρῆσθαι πρὸς θήραν, διδάξω.

δ'. Πρῶτον μὲν οὖν χρὴ ἐλθόντας, οὗ ἂν οἴωνται εἶναι, ὑπάγειν τὸ κυνηγέσιον, λύσαντας μίαν τῶν κυνῶν τῶν Λακαινῶν, τὰς δ' ἄλλας ἔχοντας δεδεμένας συμπεριιέναι τῇ κυνί.

ε'. Ἐπειδὰν δὲ λάβῃ αὐτοῦ τὰ ἴχνη, ἕπεσθαι ἑξῆς τῇ ἰχνευούσῃ ἡγουμένῃ ἀκολουθίᾳ. ἔσται δὲ καὶ τοῖς κυνηγέταις πολλὰ δῆλα αὐτοῦ, ἐν μὲν τοῖς μαλακοῖς τῶν χωρίων τὰ ἴχνη· ἐν δὲ τοῖς λασίοις, τῆς ὕλης κλάσματα· ὅπου δ' ἂν δένδρα ᾖ, πληγαὶ τῶν ὀδόντων.

ς'. Ἡ δὲ κύων ἐπὶ τὸ πολὺ ἀφίξεται τόπον ὑλώδη ἰχνεύουσα. κατακλίνεται γὰρ τὸ θηρίον ὡς ἐπὶ τὸ πολὺ εἰς τοιαῦτα. τοῦ μὲν γὰρ χειμῶνός ἐστιν ἀλεεινά, τοῦ δὲ θέρους ψυχεινά.

ζ'. Ἐπειδὰν δ' ἀφίκηται ἐπὶ τὴν εὐνήν, ὑλακτεῖ· ὁ δ' οὐκ ἀνίσταται ὡς τὰ πολλά. λαβόντας οὖν τὴν κύνα,

καὶ

mites adſint. Quippe fera iſta vix à multis etiam capitur. Quomodo autem ſingulis inſtrumentis hiſce ſit utendum ad venationem, oſtendam.

4. Primum igitur, quum ad locum venerint, ubi aprum eſſe conjiciunt, adducere prædam venatu capiendam debent, una de canibus Lacænis ſoluta: reliquas loris adſtrictas tenentes, cum ſoluta circumeant.

5. Ubi vero canis hæc apri veſtigia deprehenderit, ducentem per ea comitando ſequi debent. Sed & ipſis venatoribus argumenta multa prodent aprum, velut in mollibus locis, veſtigia: in ſylvoſis, ramorum fragmenta: ubi arbores fuerint, dentium ictus.

6. Canis autem ut plurimum ad locum aliquem ſylvoſum indagando perveniet, quod in ejuſmodi locis fera plerumque recumbat. Nam hyeme calidiuſcula ſunt, æſtate frigidiuſcula.

7. Cum ad apri cubile pervenerit, latrat: ille vero plerumque ſurgere non ſolet. Sumant igitur

canem,

καὶ ταύτην μετὰ τῶν ἄλλων δῆσαι ἄποθεν ἀπὸ τῆς εὐνῆς πολύ, καὶ εἰς τοὺς ὅρμους ἐμβάλλεσθαι τὰς ἄρκυς, ἐπιβάλλοντας τοὺς βρόχους ἐπὶ ἀποσχαλιδώματα τῆς ὕλης δικρᾶ· τοῦ δὲ ἄρκυος αὐτῆς μακρὸν προήκοντας κόλπον ποιεῖν ἀντηρείδας ἔνδοθεν, ἑκατέρωθεν ὑφιστάντας κλῶνας, ὅπως ἂν εἰς τὸν κόλπον διὰ τῶν βρόχων αἱ αὐγαὶ τοῦ φέγγους ὡς μάλιστα ἐνέχωσιν, ἵνα προσθέοντι ὡς φανώτατον ᾖ τὸ ἔσω· καὶ τὸν περίδρομον ἐξάπτειν ἀπὸ δένδρου ἰσχυροῦ, καὶ μὴ ἐκ ῥάχου. συνέχονται γὰρ ἐν τοῖς ψιλοῖς αἱ ῥάχοι. ὑπὲρ δὲ ἑκάστης ἐμφράττειν τῇ ὕλῃ καὶ τὰ δύσορμα, ἵνα εἰς τὰς ἄρκυς ποιῆται τὸν δρόμον, καὶ μὴ ἐξαλλάττων.

η΄. Ἐπειδὰν δὲ στῶσιν, ἐλθόντας πρὸς τὰς κύνας, λῦσαι ἁπάσας, καὶ λαβόντας τὰ ἀκόντια καὶ τὰ προβόλια προϊέναι. ἐγκελεύειν δὲ ταῖς κυσὶν ἕνα τὸν ἐμπειρότατον, τοὺς δ' ἄλλους ἕπεσθαι κοσμίως, ἀπολειπόντας ἀπ' ἀλλήλων πολύ, ὅπως ἂν ᾖ αὐτῷ ἱκανὴ διαδρομή. ἐὰν γὰρ ὑποχωρῶν ἐμπέσῃ εἰς πυκνούς, κίνδυνος πλη-

canem, & eam cum aliis omnino procul à cubili religent, ac sagenas in aditus (ad apri cubile tendentes) injiciant, & laqueos in erectos sylvæ stipites bifidos imponant. Ipsius autem sagenæ sinum longum producentes, intrinsecus sustentacula faciant, suppositis utrinque ramis: quo per laqueos splendor lucis in illum sinum maxime tendat, ut accurrenti apro pars interior quam lucidissima sit. Funiculum circuitorem ab arbore firma religent, non ad spinam. Quippe nudis in locis spinæ nonnihil adjuvant. Supra singulas plagas etiam aditu difficilia loca ramis arborum obstruant, ut in ipsa retia cursu feratur, nec usquam deflectat.

8. Quum retia tetenderint, ad canes redeant, omnesque solvant, & jaculis venabulisque sumtis procedant. Canes unus aliquis incitet, qui ejus rei peritissimus sit. Reliqui ordine sequantur, magnis intervallis alius ab alio distantes, ut transitus feræ satis late pateat. Nam si retrocedens in confertos inciderit, periculum est

πληγῆναι. ᾧ γὰρ ἂν προσπέσῃ, εἰς τοῦτον τὴν ὀργὴν κατέθετο.

θʹ. Ἐπειδὰν δὲ αἱ κύνες ἐγγὺς ὦσι τῆς εὐνῆς, ἐπίασι· θορυβούμενος δ' ἐξαναστήσεται, καὶ ἥτις ἂν τῶν κυνῶν προσφέρηται αὐτῷ πρὸς τὸ πρόσωπον, ἀναῤῥίψει· θέων δ', ἐμπεσεῖται. ἐὰν δὲ μὴ, μεταθεῖν ἀνάγκη. καὶ ἐὰν μὲν ᾖ τὸ χωρεῖον καταφερὲς, ἐν ᾧ ἂν ἔχῃ αὐτὸν ἡ ἄρκυς, ταχὺ ἐξαναστήσεται· ἐὰν δὲ ἐπίπεδον, εὐθὺς ἑστήξεται περὶ αὑτὸν ἔχων.

ιʹ. Ἐν τούτῳ δὲ τῷ καιρῷ αἱ μὲν κύνες προσκείσονται, αὐτοὺς δὲ χρὴ φυλαττομένους αὐτῷ ἀκοντίζειν, καὶ λίθοις βάλλειν, περιϊσταμένους ὄπισθεν, καὶ πολὺ ἄποθεν, ἕως ἂν κατατείνῃ, προωθῶν αὐτὸν, τοῦ ἄρκυος τὸν περίδρομον. εἶτα ὅστις ἂν ᾖ τῶν παρόντων ἐμπειρότατος καὶ ἐγκρατέστατος, προσελθόντα ἐκ τοῦ πρόσθεν τῷ προβολίῳ παίειν.

ιαʹ. Ἐὰν δὲ μὴ βούληται ἀκοντιζόμενος καὶ βαλλόμενος κατατεῖναι τὸν περίδρομον, ἀλλ' ἐπανιεὶς

ἔχῃ

est ut saucientur. Etenim iram suam in eum effunderet, quem adoriretur.

9. Canes autem, quum jam à cubili propius aberunt, impetum facient: ille perturbatus exsurget, & quæcumque canis ad os ejus cum impetu feretur, eam in altum jactabit: simul currens, in plagas incidet. Sin minus, omnino cursu persequendus erit. Quod si declivis fuerit locus, in quo reti captus detinetur, statim exsurget: si planus, mox intentus in seipsum stabit.

10. Tum vero incumbent canes, & ipsi venatores ab eo sibi caventes tela conjicient, & lapides in eum torquebunt, à tergo circumstantes, & longo quidem ex intervallo, donec seipsum propellens, circumcurrentem plagæ funiculum intenderit. Tunc aliquis eorum qui adsunt, peritissimus, & imprimis apro capiendo idoneus, in eum progressus, à fronte venabulo feriat.

11. Quod si petitus ictusque telis ac lapidibus, funiculum illum circuitorem intendere noluerit, sed

in

ἔχῃ πρὸς τὸν προσιόντα περιδρομὴν ποιούμενος· ἀνάγκη, ὅταν οὕτω ἔχῃ, λαβόντα τὸ προβόλιον προσιέναι, ἔχεσθαι δ' αὐτοῦ τῇ μὲν χειρὶ τῇ ἀριστερᾷ πρόσθεν, τῇ δὲ ἑτέρᾳ ὄπισθεν. κατορθοῖ γὰρ ἡ μὲν ἀριστερὰ αὐτοῦ, ἡ δὲ δεξιὰ ἐπεμβάλλει. ἔμπροσθεν δὲ ὁ ποὺς ὁ μὲν ἀριστερὸς ἑπέσθω τῇ χειρὶ τῇ ὁμωνύμῳ· ὁ δὲ δεξιὸς, τῇ ἑτέρᾳ.

ιβ'. Προσιόντα δὲ προβάλλεσθαι τὸ προβόλιον, μὴ πολλῷ μείζω διαβάντα, ἢ ἐν πάλῃ, ἐπιστρέφοντα τὰς πλευρὰς τὰς εὐωνύμους, ἐπὶ τὴν χεῖρα τὴν εὐώνυμον, εἶτα εἰσβλέποντα εἰς τὸ ὄμμα τοῦ θηρίου, ἐνθυμούμενον τὴν κίνησιν τὴν ἀπὸ τῆς κεφαλῆς τῆς ἐκείνου· προσφέρειν δὲ τὸ προβόλιον φυλαττόμενον, μὴ ἐκκρούσῃ ἐκ τῶν χειρῶν τῇ κεφαλῇ ἐκνεύσας. * ἡ γὰρ ῥύμη τῆς ἐκκρούσεως ἕπεται.

ιγ'. Παθόντα δὲ τοῦτο πίπτειν δεῖ ἐπὶ στόμα, καὶ ἔχεσθαι τῆς ὕλης κάτωθεν. τὸ γὰρ θηρίον, ἐὰν μὲν οὕτως ἔχοντι προσπέσῃ, διὰ τὴν σιμότητα τῶν ὀδόντων τὸ σῶμα οὐ δύναται ὑπολαβεῖν· ἐὰν δὲ μετεώρῳ, ἀνάγκη πληγῆναι. πειρᾶται

in accedentem converſus tendat, ſeipſum circumagens; tum ſcilicet, ita re comparata, neceſſe eſt venatorem ſumto venabulo accedere, tenentem id anterius manu ſiniſtra, poſterius altera. Nam telum ſiniſtra dirigit, dextra impellit & urget. Anterius autem pes ſiniſter manui cognomini jungatur, dexter dextræ.

12. Accedens vero, venabulum objiciat, cruribus non multo plus divaricatis, quam in lucta fieri ſolet, ac toto latere lævo ad manum lævam converſo. Deinde feræ frontem & oculos inſpiciat, capitis in ea motum obſervans. Venabulum infligens caveat ne ictu declinatione capitis evitato, venabulum ei de manibus excutiat. Quippe ſequi ſolet aper excuſſionis impetum.

13. Id autem ſi cui contigerit, pronus in os cadat oportet, & ſubjectæ ſibi materiei adhæreat. Nam ſi fera in aliquem ita comparatum irruerit, ſubjicere corpori dentes ſimos, ejus prehendendi cauſa, nequit: ſin erectus ſit, neceſſe eſt eum ſauciari. Sublevare

ἐπαίρει μὲν οὖν μετεωρίζειν. ἐὰν δὲ μὴ δύνηται, ἀμφιβὰς πατεῖ.

ιδ'. Ἀπαλλαγὴ δὲ τούτων μία ἐστὶ μόνη, ὅταν ἐν τῇ ἀνάγκῃ ταύτῃ ἔχηται, προσελθόντα ἐγγὺς τῶν συγκυνηγετῶν ἕνα ἔχοντα προβόλιον, ἐρεθίζειν ὡς ἀφήσοντα. ἀφιέναι δὲ οὐ χρὴ, μὴ τύχῃ τοῦ πεπτωκότος.

ιε'. Ὅταν δὲ ἴδῃ τοῦτο, καταλιπὼν ὃν ἂν ἔχῃ ὑπ' αὐτῷ, ἐπὶ τὸν ἐρεθίζοντα ὑπ' ὀργῆς καὶ θυμοῦ ἐπιστρέψει· τὸν δὲ ταχὺ ἀναπηδᾶν, τὸ δὲ προβόλιον μεμνῆσθαι ἔχοντα ἀνίστασθαι. οὐ γὰρ καλὴ ἡ σωτηρία ἄλλως, ἢ κρατήσαντι.

ιϛ'. Προσφέρειν δὲ πάλιν τὸν αὐτὸν τρόπον, καὶ προσθεῖναι ἐντὸς τῆς ὠμοπλάτης, ᾗ ἐσφάγη, καὶ ἀντερείσαντα ἔχειν ἐῤῥωμένως. ὁ δὲ ὑπὸ τοῦ μένους πρόεισι, καὶ εἰ μὴ κωλύοιεν οἱ κνώδοντες τῆς λόγχης, ἀφίκοιτ' ἂν διὰ τῆς ῥάβδου προωθῶν αὑτὸν πρὸς τὸν τὸ προβόλιον ἔχοντα.

ιζ'. Οὕτω δὲ πολλὴ ἡ δύναμίς ἐστιν αὐτοῦ, ὥστε καὶ ἃ οὐκ ἂν οἴοιτό τις, πρόσεστιν αὐτῷ· τεθνεῶτος γὰρ εὐ-

θύς,

levare quidem altius eum nititur, verum id si nequeat, hinc inde inscensum proculcat.

14. In hoc vero discrimine constitutus unam duntaxat hanc viam liberationis habet, ut venationis sociorum quispiam cum venabulo accedens, velut hoc immissurus, aprum iritet. Non emittendum id tamen, ne lapsum feriat.

15. Hoc aper ubi conspexerit, omisso illo, quem sub se premit, in provocantem præ ira & furore convertetur. Tunc ille celeriter exsiliat, memor interim ut cum venabulo surgat. Nam alia ratione saluti honeste non consulet, nisi fera superata.

16. Rursus ergo venabulum eodem modo, quo prius, infligat; ac ferrum intra scapulas, ubi vulneratus est, admoveat; & obnixus acriter venabulo incumbat. Ille præ animi ardore progreditur, & nisi aures spiculi prohiberent, per hastile se propellens ad eum penetraret, qui venabulum tenet.

17. Adeo autem magna vis ejus est, ut ipsi etiam insint ea quæ nemo putaret: quippe recenter occisi

cisi

θὺς, ἐάν τις ἐπὶ τὸν ὀδόντα ἐπιθῇ τρίχας, συντρέχουσιν, οὕτως εἰσὶ θερμοί. ζῶντι δὲ διάπυροι, ὅταν ἐρεθίζηται. οὐ γὰρ ἂν τῶν κυνῶν, ἁμαρτάνων τῇ πληγῇ τοῦ σώματος, ἄκρα τὰ τριχώματα περιεπίμπρα.

ιή. Ὁ μὲν οὖν ἄῤῥην, τοσαῦτα καὶ ἔτι πλείω πράγματα παρέχων, ἁλίσκεται. ἐὰν δὲ θήλεια ᾖ ἡ ἐμπεσοῦσα, ἐπιθέοντα παίειν, φυλαττόμενον μὴ ὠσθεὶς πέσῃ. παθόντα δὲ τοῦτο πατεῖσθαι ἀνάγκη, καὶ δάκνεσθαι. ἑκόντα οὖν οὐ χρὴ ὑποπίπτειν. ἐὰν δὲ ἄκων ἔλθῃ εἰς τοῦτο, διαναστάσεις γίγνονται αἱ αὐταί, ὥσπερ ὑπὸ τοῦ ἄῤῥενος. ἐξαναστάντα δὲ δεῖ παίειν τῷ προβολίῳ, ἕως ἂν ἀποκτείνῃ.

ιθ'. Ἁλίσκονται δὲ καὶ ὧδε. ἵστανται μὲν αὐτοῖς αἱ ἄρκυς ἐπὶ τὰς διαβάσεις τῶν ναπῶν εἰς τοὺς δρυμούς, καὶ τὰ ἄγκη τὰ τραχέα, εἰσβολαὶ δ' εἰς τὰς ὀργάδας, καὶ ἕλη, καὶ τὰ ὕδατα. ὁ δὲ τεταγμένος, ἔχων τὸ προβόλιον, φυλάττει τὰς ἄρκυς. οἱ δὲ τὰς κύνας ἐπάγουσι, τοὺς τόπους ζη-

τοῦντες

ciſi dentes adeo fervent, ut eis impoſiti pili, in ſe contrahantur. Viventi vero, ſi quando provocatus iritetur, igneſcunt. Nam alioquin aberrans in ictu à canum corpore, ſummos eorum pilos hinc inde non adureret.

18. Ac mas quidem tot negotiis, atque etiam pluribus exhibitis, capitur. At fœminam, ſi ea inciderit in retia, venator accurrens feriat; non ſine cautione tamen, ne impulſus cadat: quod ſi contigerit, proteratur neceſſe eſt, ac mordeatur. Non eſt igitur ſponte cadendum. At ſi quis huc pervenerit invitus, ei non aliter ſurgendum eſt, quam qui ſub maſculo ceciderit. Exſurgens vero, venabulo percutiat oportet, donec eam occiderit.

19. Solent autem hoc etiam modo capi. Tenduntur eis plagæ ad exitus convallium in loca nemoroſa, & edita montium aſpera, ubi patent aditus ad lucos & paludes, & aquas alias. Is, cui datum eſt hoc negotii, retia venabulo inſtructus ſervat: alii canes adducunt, & aptiſſima quæque loca

per-

ποιοῦντες τοὺς καλλίστους. ἐπειδὰν δὲ εὑρεθῇ, διώκεται.

κ΄. Ἐὰν οὖν εἰς τὴν ἄρκυν ἐμπίπτῃ, τὸν ἀρκυωρὸν ἀναλαβόντα τὸ προβόλιον προσιέναι, καὶ χρῆσθαι ὡς εἴρηκα· ἐὰν δὲ μὴ ἐμπέσῃ, μεταθεῖν. ἁλίσκεται δὲ καὶ ὅταν ᾖ πνίγη, διωκόμενος ὑπὸ τῶν κυνῶν. τὸ γὰρ θηρίον καίπερ ὑπερβάλλον δυνάμει, ἀπαγορεύει ὑπέρασθμον γινόμενον.

κα΄. Ἀποθνήσκουσι δὲ κύνες πολλαὶ ἐν τῇ τοιαύτῃ θήρᾳ, καὶ αὐτοὶ οἱ κυνηγέται κινδυνεύουσιν. ὅταν δ᾽ ἐν ταῖς μεταδρομαῖς ἀπειρηκότι ἀναγκάζωνται προσιέναι τὰ προβόλια, ἢ ἐν ὕδατι ὄντι, ἢ ἀφεστῶτι πρὸς ἀποκρήμνῳ, ἢ ἐκ δασέος μὴ θέλοντι ἐξιέναι· (οὐ γὰρ κωλύει αὐτὸν οὔτε ἄρκυς, οὔτε ἄλλο οὐδὲν, φέρεσθαι ὁμόσε τῷ πλησιάζοντι) ὅμως μέντοι προσιτέον, ὅταν ἔχῃ οὕτως, καὶ ἐπιδεικτέον τὴν εὐψυχίαν, δι᾽ ἣν εἵλοντο ἐκπονεῖν τὴν ἐπιθυμίαν ταύτην.

κβ΄. Χρηστέον δὲ τῷ προβολίῳ, καὶ ταῖς προβολαῖς τοῦ σώματος,

perquirunt. Ubi fera inventa fuerit, inſequendo petitur.

20. Quod ſi in caſſes inciderit, retium cuſtos accedat, ſumto venabulo; & cum fera ſic agat, quemadmodum diximus: ſin minus, curſu intercipiendus eſt. Capitur etiam, dum æſtu medio premitur à canibus. Nam licet hæc fera viribus ſupra modum præſtet, præ nimio tamen anhelitu exanimatur.

21. Pereunt vero multæ in ejuſmodi venatione canes, atque etiam venatores ipſi periclitantur. Quum autem perſequendo exanimatæ admovere venabula coguntur, ſive in aqua, ſeu in rupis ſeceſſu præruptæ fuerit, ſeu de loco ſylvis denſo prodire noluerit, (quandoquidem nec à reti, nec alia re quavis impediri ſe patitur, quominus in adpropinquantem irruat:) ubi redacta huc fuerit, eundum in eam, & animi magnitudo, cujus cauſſa cupiditati ſuæ cum labore ſatisfaciundum ſtatuerunt, declaranda.

22. Utendum eſt autem venabulo, & geſtu objectuque corporis,

σώματος, ὡς εἴρηται. εἰ γάρ τι καὶ πάσχοι, οὐκ ἂν διά γε τὸ ὀρθῶς ποιεῖν πάσχοι. ἵστανται δὲ αἱ ποδοστράβαι αὐτοῖς ὥσπερ τοῖς ἐλάφοις, ἐν τοῖς αὐτοῖς τόποις, καὶ ἐπισκέψεις αἱ αὐταὶ, καὶ μεταδρομαὶ, καὶ αἱ πρόσοδοι, καὶ αἱ χρεῖαι τοῦ προβολίου.

κγ΄. Τὰ δὲ νεογνὰ αὐτῶν ὅταν ἁλίσκηται, χαλεπῶς τοῦτο πάσχει. οὔτε γὰρ μονοῦνται, ἕως ἂν * μακρὰ ᾖ· ὅταν τε αἱ κύνες εὕρωσιν, ἢ προΐδῃ τι, ταχὺ εἰς τὴν ὕλην ἀφανίζεται· ἕπονταί τε ἐπὶ τὸ πολὺ ὧν ἂν ὦσιν ἄμφω, χαλεποὶ ὄντες τότε, καὶ μᾶλλον μαχόμενοι ὑπὲρ ἐκείνων, ἢ ὑπὲρ αὐτῶν.

ΚΕΦ. ια΄.

Λέοντες δὲ, παρδάλεις, λύγκες, πάνθηρες, ἄρκτοι, καὶ τἄλλα, ὅσα ἐστὶ τοιαῦτα θηρία, ἁλίσκεται τὰ μὲν ἐν ξέναις χώραις, περὶ τὸ Πάγγαιον ὄρος, καὶ τὸν Κιττὸν τὸν ὑπὲρ τῆς Μακεδονίας, τὰ δ᾽ ἐν τῷ Ὀλύμπῳ τῷ Μυσίῳ, καὶ ἐν Πίνδῳ,

poris, ut dictum est. Nam hoc modo siquid etiam adversi contingat, non id propterea, quod recte agat venator, contigerit. Ponuntur vero ipsis tendiculæ in iisdem locis, sicut & cervis: & speculationes eædem sunt, & insequutiones, & aditus, & usus venabuli.

23. Quum fœtus eorum recens editi capiuntur, hoc ipsum graviter ferunt. Quippe non solent eos relinquere solos, donec adulti sint: & quum canes eos invenerint, vel aliquid ipsi præsenserint, statim se abdunt in sylvas, & ambo sequuntur eos ut plurimum, quorum sunt; id temporis sæviores, & pro illis acrius quam pro seipsis pugnantes.

CAP. XI.

At leones, pardi, lynces, pantheræ, ursi, & aliæ, quæcumque sunt ejusmodi feræ, partim peregrinis in locis capiuntur, circa Pangæum montem, & Cittum, qui supra Macedoniam est: partim in Olympo Mysio, & Pindo:

Πίνδῳ, τὰ δ' ἐν τῇ Νύσῃ ὑπὲρ τῆς Συρίας, καὶ πρὸς τοῖς ἄλλοις ὄρεσιν, ὅσα οἷά τ' ἐστὶ τρέφειν τοιαῦτα.

β'. Ἁλίσκεται δὲ τὰ μὲν ἐν τοῖς ὄρεσι φαρμάκῳ διὰ δυσχωρίαν ἀκονιτικῷ. παραβάλλουσι δὲ τοῦτο οἱ θηρώμενοι, συμμιγνύντες εἰς τὸ αὐτὸ, ὅτῳ ἂν ἕκαστον χαίρῃ παρὰ τὰ ὕδατα, καὶ πρὸς ὅ,τι ἂν ἄλλο προσίῃ.

γ'. Τὰ δὲ αὐτῶν καταβαίνοντα εἰς τὸ πεδίον τῆς νυκτὸς, ἀποκλειαθέντα μετὰ ἵππων καὶ ὅπλων ἁλίσκεται εἰς κίνδυνον καθιστάντα τοὺς αἱροῦντας.

δ'. Ἔστι δὲ οἷς αὐτῶν καὶ ὀρύγματα ποιοῦσι περιφερῆ, μεγάλα, βαθεῖαν ἐν μέσῳ λείποντες κίονα τῆς γῆς· ἐπὶ δὲ τοῦτον εἰς νύκτα ἐπέθεσαν δήσαντες αἶγα, καὶ ἔφραξαν κύκλῳ τὸ ὄρυγμα ὕλῃ, ὥστε μὴ περιορᾶν, εἴσοδον οὐ λείποντες. τὰ δὲ, ἀκούοντα τῆς φωνῆς ἐν τῇ νυκτὶ, κύκλῳ τὸν φραγμὸν περιθέουσι, καὶ ἐπειδὰν μὴ εὑρίσκῃ δίοδον, ὑπερπηδᾷ, καὶ ἁλίσκεται.

ΚΕΦ.

Pindo: aliæ in Nyſa ſupra Syriam, & juxta montes alios, quotquot idonei ſunt alendis hujus generis belluis.

2. Capiuntur vero partim in montibus aconitico veneno, propter aſperitatem regionum. Hoc autem venatores rebus iis miſcentes, quibus quæque delectatur fera, ſecus aquas illis objiciunt, & ſi quid aliud adire conſueverint.

3. Partim etiam illæ, quæ noctu in plana deſcendunt, equis & armis intercluſæ & circumventæ, nec ſine venatorum diſcrimine, capiuntur.

4. Sunt quibus & foveas amplas orbiculari forma conficiunt, profundam in medio relinquentes terræ columnam, cui ſub noctem, capram religatam imponunt, & undique foveam materiæ ſylveſtri circumſepiunt & obſtruunt, ne circumſpiciendi facultas ſit, aditu ad ingrediendum nullo relicto. Illæ vocem noctu audientes, ſepem circumcurſitant; & quum nuſquam inveniunt aditum, tranſiliunt, & capiuntur.

CAP.

ΚΕΦ. ιβ΄.

Περὶ μὲν αὐτῶν τῶν πράξεων, τῶν ἐν τοῖς κυνηγεσίοις, εἴρηται. ὠφελήσονται δὲ οἱ ἐπιθυμήσαντες τούτου τοῦ ἔργου πολλά. ὑγίειάν τε γὰρ τοῖς σώμασι παρασκευάσουσι, καὶ ὁρᾶν καὶ ἀκούειν μᾶλλον, γηράσκειν δὲ ἧττον. τὰ δὲ πρὸς τὸν πόλεμον μάλιστα παιδεύει.

β΄. Πρῶτον μὲν τὰ ὅπλα ὅταν ἔχοντες πορεύωνται ὁδοὺς χαλεπὰς, οὐκ ἀπεροῦσιν. ἀνέξονται γὰρ τοὺς πόνους, διὰ τὸ εἰθίσθαι μετὰ τούτων αἱρεῖν τὰ θηρία. ἔπειτα εὐνάζεσθαί τε σκληρῶς δυνατοὶ ἔσονται, καὶ φύλακες εἶναι ἀγαθοὶ τοῦ ἐπιταττομένου.

γ΄. Εν δὲ ταῖς προσόδοις ταῖς πρὸς τοὺς πολεμίους ἅμα οἷοί τε ἔσονται ἐπιέναι, καὶ τὰ παραγγελλόμενα ποιεῖν, διὰ τὸ οὕτω καὶ αὐτοὶ αἱρεῖν τὰς ἄγρας. τεταγμένοι δ᾽ ἐν τῷ πρόσθεν, οὐ λείψουσι τὰς τάξεις, διὰ τὸ καρτερεῖν δύνασθαι.

δ΄. Εν

CAP. XII.

HActenus de iis quæ in venatione faciunda ſunt, dictum. Huic autem labori ac ſtudio dediti, magnam inde utilitatem capient. Nam & corporibus valetudinem bonam conciliabunt, & viſu audituque meliori fruentur, & ſerius ſeneſcent. Ad diſciplinam vero militarem potiſſimum eos venatio inſtituit.

2. Primum, ubi geſtantibus arma per difficiles vias eundum erit, animos haud deſpondebunt. Quippe labores ſuſtinere propterea poterunt, quod iis ad feras capiendas adſuefacti fuerint. Deinde poterunt etiam cubare duriter, & egregios ſe declarare cuſtodes in eo quod fuerit imperatum.

3. In hoſtibus adeundis ſimul & progredi adverſus eos, & facere poterunt, quæ imperantur; idq; propterea, quod eadem ratione feras etiam capere conſueverint. In fronte collocati, quum labores tolerare norint, acies haud deſerent.

4. In

δ'. Ἐν φυγῇ δὲ τῶν πολεμίων ὀρθῶς καὶ ἀσφαλῶς διώξονται τοὺς ἐναντίους ἐν παντὶ χωρίῳ, διὰ συνήθειαν. δυστυχήσαντος δὲ οἰκείου στρατοπέδου, ἐν χωρίοις ὑλώδεσι, καὶ ἀποκρήμνοις, ἢ ἄλλοις χαλεποῖς οἷοί τ' ἔσονται καὶ αὐτοὶ σώζεσθαι μὴ αἰσχρῶς, καὶ ἑτέρους σώζειν. ἡ γὰρ συνήθεια τοῦ ἔργου παρέξει αὐτοῖς πλέον τι εἰδέναι.

ε'. Καὶ ἤδη τινὲς τῶν τοιούτων, πολλοῦ ὄχλου συμμάχων τρεφθέντος, τῇ αὐτῶν εὐεξίᾳ καὶ θράσει διὰ δυσχωρίαν ἁμαρτόντας τοὺς πολεμίους νενικηκότας, ἀναμαχόμενοι ἐτρέψαντο. ἀεὶ γὰρ ἐστι τοῖς τὰ σώματα καὶ τὰς ψυχὰς εὖ ἔχουσιν ἐγγὺς τὸ εἶναι τοῦ εὐτυχῆσαι.

ϛ'. Εἰδότες δὲ καὶ οἱ πρόγονοι ἡμῶν, ὅτι ἐντεῦθεν εὐτύχουν πρὸς τοὺς πολεμίους, ἐπιμέλειαν τῶν νέων ἐποιήσαντο. σπανίζοντες γὰρ καρπῶν τὸ ἐξ ἀρχῆς, ἐνόμισαν ὅμως τοὺς κυνηγέτας μὴ κωλύειν,

διὰ

4. In hoſtium fuga propter conſuetudinem & uſum quibuſvis in locis adverſarios recte pariter ac tuto proſequentur. Si quid infeliciter exercitui ſuo ceſſerit, in ſylvoſis, præruptis, aliiſque difficilibus locis tam ſeipſos quam alios abſque macula turpitudinis conſervare poterunt. Nam præbebit hoc eis ipſe rei uſus, ut plus aliis norint.

5. Nonnulli quidem tales aliquando, magna ſociorum turba in fugam conjecta, jam victores hoſtes, ob difficultates locorum in errorem abreptos, ſuo ipſi robore atque audacia prœlium inſtaurando terga dare coegerunt. Semper enim illi, qui tum à corporibus tum animis egregie comparati ſunt, haud procul abſunt ab eo ut rem proſpere gerant.

6. Quum autem majores quoq; noſtri cognoviſſent, hinc proſperos adverſus hoſtes ſucceſſus ſuos manare, juventutis curam ſibi ſuſcipiendam cenſuerunt. Nam licet ab initio frugum inopia laborarent, non tamen venatoribus interdicendum venatione judicarunt;

quum

διὰ τὸ μηδὲν τῶν ἐπὶ τῇ γῇ φυομένων ἀγρεύειν.

ζ΄. Πρὸς δὲ τούτῳ, μὴ νυκτερεύειν ἐντὸς πολλῶν σταδίων· ἵνα μὴ ἀφαιροῖντο τὰς θήρας αὐτῶν οἱ ἔχοντες ταύτην τὴν τέχνην. ἑώρων γὰρ, ὅτι τῶν νεωτέρων ἡ ἡδονὴ μόνη αὕτη πλεῖστα ἀγαθὰ παρασκευάζει. σώφρονάς τε γὰρ ποιεῖ, καὶ δικαίους, διὰ τὸ ἐν τῇ ἀληθείᾳ παιδεύεσθαι.

η΄. Τά τε εἰς πόλεμον διὰ τῶν τοιούτων εὐτυχοῦντες ᾐσθάνοντο. τῶν τε ἄλλων εἴ τι βούλονται ἐπιτηδεύειν καλῶν, οὐδενὸς ἀποστερεῖ, ὥσπερ ἕτεραι κακαὶ ἡδοναὶ, ἃς οὐ χρὴ μανθάνειν. ἐκ τῶν τοιούτων οὖν στρατιῶταί τε ἀγαθοὶ, καὶ στρατηγοὶ γίγνονται.

θ΄. Ὧν γὰρ οἱ πόνοι τὰ μὲν αἰσχρὰ καὶ ὑβριστικὰ ἐκ τῆς ψυχῆς καὶ τοῦ σώματος ἀφαιροῦνται, ἐπιθυμίαν δ᾽ ἀρετῆς ἐνηύξησαν, οὗτοι ἄριστοι. οὐ γὰρ ἂν περιίδοιεν οὔτε τὴν πόλιν τὴν ἑαυτῶν ἀδικουμένην, οὔτε τὴν χώραν πάσχουσαν κακῶς.

ι΄. Λέγουσι δέ τινες, ὡς οὐ χρὴ ἐρᾷν κυνηγεσιῶν, ἵνα

quum ii nihil eorum quæ ſupra terram naſcuntur, venari ſoleant.

7. Præterea vetuerunt, intra multa ſtadia [propter urbem] pernoctari, ne hujus artis periti homines ſuis ipſos prædis ac venatione fraudarent. Videbant enim hanc unam voluptatem junioribus utilitates adferre plurimas; quum & prudentes eos reddat, & juſtos, quod in veritate inſtituantur.

8. Itidem res bellicas per hæc ſibi cedere feliciter intelligebant. Eadem voluptas à cæteris quoque præclaris & honeſtis rebus, quibus ſe dare velint, minime juvenes arcet; quod aliæ voluptates improbæ faciunt, quæ diſcendæ non ſunt. Ex his igitur & boni milites, & imperatores boni evadunt.

9. Quorum enim labores ex animis & corporibus turpitudinem ac inſolentiam expellunt, & ſtudium virtutis excitant, ii præſtantiſſimi ſunt: quippe qui nec injurias patriæ, nec regionis & agri vaſtationem ſint neglecturi.

10. Dicunt vero nonnulli, non eſſe ſtudio venationis indulgendum,

ἵνα μὴ τῶν οἰκείων ἀμελῶσιν· οὐκ εἰδότες, ὅτι οἱ τὰς πόλεις καὶ τοὺς φίλους εὖ ποιοῦντες, πάντες τῶν οἰκείων ἐπιμελέστεροί εἰσιν.

ια΄. Εἰ οὖν οἱ φιλοκυνηγέται παρασκευάζουσιν αὑτοὺς τῇ πατρίδι χρησίμους εἶναι εἰς τὰ μέγιστα, οὐδ' ἂν τὰ ἴδια προΐοιντο. σὺν γὰρ τῇ πόλει καὶ σώζεται καὶ ἀπόλλυται τὰ οἰκεῖα ἑκάστου· ὥστε πρὸς τοῖς αὑτῶν καὶ τὰ τῶν ἄλλων ἰδιωτῶν οἱ τοιοῦτοι σώζουσι.

ιβ΄. Πολλοὶ δὲ ἀπὸ φθόνου ἀλόγιστοι τῶν ταῦτα λεγόντων αἱροῦνται διὰ τὴν αὑτῶν κακίαν ἀπολέσθαι μᾶλλον, ἢ ἑτέρων ἀρετῇ σώζεσθαι. αἱ γὰρ ἡδοναὶ αἱ πολλαὶ καὶ κακαί, ὧν ἡττώμενοι ἢ λέγειν ἢ πράττειν ἐπαίρονται τὰ χείρω.

ιγ΄. Εἶτα ἐκ μὲν τῶν ματαίων λόγων ἔχθρας ἀναιροῦνται, ἐκ δὲ τῶν κακῶν ἔργων νόσους, καὶ ζημίας, καὶ θανάτους, καὶ αὑτῶν, καὶ παίδων, καὶ φίλων, ἀναισθήτως μὲν τῶν κακῶν ἔχοντες, τῶν δὲ ἡδονῶν πλέον τῶν ἄλλων αἰσθανόμενοι,

dum, ne res familiaris negligatur: quum non norint, eos omnino patres-familias adtentiores esse, qui de republica & amicis bene merentur.

11. Quod si studiosi venationis ita se comparant, ut patriæ maximis in rebus utiles sint; nec privata certe negligent. Nam uniuscujusque fortunæ sic cum republica conjunctæ sunt, ut cum ea pariter & incolumes sint, & evertantur. Itaque viri tales simul & suam & aliorum rem privatam conservant.

12. Multi tamen ex illis, qui hæc dictitant, per invidiam imprudentes, sua ipsorum ignavia perire malunt, quam aliorum virtute servari. Nam multæ voluptates ac pravæ sunt, quibus servientes, ut pejora dicant aut faciant, inducuntur.

13. Hinc vana & inconsiderata oratione sibi odia pariunt, improbis vero factis morbos, damna, neces, non sibi solum, sed etiam liberis, & amicis arcessunt; omni vitiorum sensu destituti, sed eodem ad voluptates cæteris acrio-

μένοι, οἷς τις ἂν χρήσαιτο εἰς πόλεως σωτηρίαν;

ιδ΄. Τούτων μέντοι τῶν κακῶν οὐδεὶς ὅστις οὐκ ἀφέξεται, ἐρασθεὶς ὧν ἐγὼ παραινῶ. παίδευσις γὰρ καλὴ διδάσκει χρῆσθαι νόμοις, καὶ λέγειν περὶ τῶν δικαίων, καὶ ἀκούειν.

ιε΄. Οἱ μὲν οὖν * πάσχοντες αὐτοὺς ἐπὶ τὸ ἀεί τι μοχθεῖν τε καὶ διδάσκεσθαι, αὐτοῖς μὲν μαθήσεις καὶ μελέτας ἐπιπόνους ἔχουσι, σωτηρίαν δὲ ταῖς αὐτῶν πόλεσιν· οἱ δὲ μὴ θέλοντες διὰ τὸ ἐπίπονον διδάσκεσθαι, ἀλλὰ ἐν ἡδοναῖς ἀκαίροις διάγειν, φύσει οὗτοι κάκιστοι.

ιϛ΄. Οὔτε γὰρ νόμοις, οὔτε λόγοις ἀγαθοῖς πείθονται. οὐ γὰρ εὑρίσκουσι, διὰ τὸ μὴ πονεῖν, οἷον χρὴ τὸν ἀγαθὸν εἶναι. ὥστε οὔτε θεοσεβεῖς δύνανται εἶναι, οὔτε σοφοί. τῷ δὲ ἀπαιδεύτῳ χρώμενοι, πολλὰ ἐπιτιμῶσι τοῖς πεπαιδευμένοις.

ιζ΄. Διὰ μὲν οὖν τούτων οὐδὲν ἂν καλῶς ἔχοι· διὰ δὲ τῶν ἀμεινόνων ἅπασαι αἱ ὠφέλειαι τοῖς ἀν-

θρώποις

re præditi ; quorum opera quis uti ad reipublicæ salutem velit?

14. At his à vitiis nemo non abstinebit, qui excitatus illorum studio fuerit, quæ ipse præcipio. Nam honesta institutio docet parere legibus, deque iis & loqui, & audire, quæ justa sunt.

15. Quapropter ii qui sic se gerunt, ut semper aliquem obire laborem, & doceri velint, studia quidem illi & exercitationes sibi laboriosas sectantur, sed civitatibus suis salutares : qui vero laboris vitandi caussa doceri nolunt, sed vitam potius in voluptatibus immodicis exigendam statuunt, ingeniis præditi sunt improbissimis.

16. Quippe nec legibus, nec admonitionibus rectis obtemperant. Dum enim laborem fugiunt, qualis esse vir fortis & egregius debeat, non inveniunt. Itaque nec religiosi esse possunt, nec sapientes : quumque se gerant, ut rectæ institutionis expertes, bene institutos plerumque reprehendunt.

17. Nequit ergo quidquam in statu per hos esse prospero, quum his meliorum opera mortalibus

omnia

θρώποις εὕρηνται. ἀμείνους οὖν, οἱ θέλοντες πονεῖν.

ιη΄. Καὶ τοῦτο ἐπιδέδεικται μεγάλῳ παραδείγματι. τῶν γὰρ παλαιοτέρων οἱ παρὰ Χείρωνι, ὧν ἐπεμνήσθην, νέοι ὄντες ἀρξάμενοι ἀπὸ τῶν κυνηγεσίων, πολλὰ καὶ καλὰ ἔμαθον· ἐξ ὧν ἐγένετο αὐτοῖς μεγάλη ἀρετὴ, δι' ἣν καὶ νῦν θαυμάζονται· ἧς ὅτι μὲν ἐρῶσι πάντες εὔδηλον, ὅτι δὲ διὰ πόνων ἐστὶ τυχεῖν αὐτῆς, οἱ πολλοὶ ἀφίστανται.

ιθ΄. Τὸ μὲν γὰρ κατεργάσασθαι αὐτὴν, ἄδηλον· οἱ δὲ πόνοι οἱ ἐν αὐτῇ ἐνόντες φανεροί. ἴσως μὲν οὖν εἰ ἦν τὸ σῶμα αὐτοῖς δῆλον, ἧττον ἂν ἠμέλουν οἱ ἄνθρωποι ἀρετῆς, εἰδότες ὅτι ὥσπερ αὐτοῖς ἐκείνη ἐμφανής ἐστιν, οὕτω καὶ αὐτοὶ ὑπ' ἐκείνης ὁρῶνται.

κ΄. Οταν μὲν γάρ τις ὁρᾶται ὑπὸ τοῦ ἐρωμένου, ἅπας ἑαυτοῦ ἐστὶ βελτίων, καὶ οὔτε λέγει οὔτε ποιεῖ αἰσχρὰ, οὐδὲ κακὰ, ἵνα μὴ ὀφθῇ ὑπ' ἐκείνου.

κα΄. Υπὸ

omnia commoda concilientur. Ideoque sequitur, eos esse meliores, qui labores suscipere non recusant.

18. Exemplo id demonstratum insigni. Nam veteres illi apud Chironem, quorum mentionem feci, facto à venationibus ætate prima initio, multas & egregias artes didicerunt: ex quibus magnum virtutis fructum consequuti sunt, propter quam nunc quoque sunt in admiratione. Atque hanc quidem ab omnibus amari, manifestum est; sed quia labore comparatur, multi quasi resiliunt.

19. Etenim adipiscendi eam spes dubia est, in adipiscendo labores manifesti sunt. Quod si virtutis quasi corpus quoddam conspici posset, minus eam mortales fortasse negligerent: quando perinde scirent ab ea se cerni, atque ipsa eorum oculis esset exposita.

20. Quilibet enim, quum ab amato conspicitur, seipso melior existit: & à dictis ac factis turpibus & improbis abstinet, ne ab illo talia conspiciantur.

21. Quum

κα'. Ὑπὸ δὲ τῆς ἀρετῆς οὐκ οἰόμενοι ἐπισκοπεῖσθαι, πολλὰ κακὰ καὶ αἰσχρὰ ἐναντίον ποιοῦσιν, ὅτι αὐτὴν ἐκεῖνοι οὐχ ὁρῶσιν. ἡ δὲ πανταχοῦ πάρεστι, διὰ τὸ εἶναι ἀθάνατος, καὶ τιμᾷ τοὺς περὶ αὐτὴν ἀγαθούς, τοὺς δὲ κακοὺς ἀτιμάζει.

κβ'. Εἰ οὖν εἰδεῖεν τοῦτο, ὅτι θεᾶται αὐτούς, ἵεντο ἂν ἐπὶ τοὺς πόνους, καὶ τὰς παιδεύσεις, αἷς ἁλίσκεται μόλις, καὶ κατεργάζοντο ἂν αὐτήν.

ΚΕΦ. ιγ'.

Θαυμάζω δὲ τῶν σοφιστῶν καλουμένων, ὅτι φασὶ μὲν ἐπ' ἀρετὴν ἄγειν οἱ πολλοὶ τοὺς νέους, ἄγουσι δ' ἐπὶ τοὐναντίον. οὔτε γὰρ ἂν ἄνδρα που ἑωράκαμεν, ὅντιν' οἱ νῦν σοφισταὶ ἀγαθὸν ἐποίησαν, οὔτε γράμματα παρέχονται, ἐξ ὧν χρὴ ἀγαθοὺς γίγνεσθαι.

β'. Ἀλλὰ

21. Quum autem à virtute se non putent adspici, multa palam & improba & fœda perpetrant; idque propterea, quod ne ipsi quidem eam cernant. Illa vero, quum immortalis sit, ubique adest: & recte se in eam gerentes, honore adficit; improbos infamia notat.

22. Itaque si conspici se ab ea scirent, ad labores & disciplinas accederent, quibus capitur, licet ægre; suamque in potestatem illam redigerent.

CAP. XIII.

Mirum hoc vero mihi de illis hominibus videtur, qui sapientiæ professores appellantur, quod eorum pleriq; se juvenibus ad virtutem duces esse dicant, quum potius eis ad contraria se duces præbeant. Quippe neminem adhuc vidimus, quem illi modo sapientiæ professores egregium virum effecerint; neque scripta proferunt, quibus homines effici meliores possint.

2. Sed

β'. Ἀλλὰ περὶ μὲν τῶν ματαίων πολλὰ αὐτοῖς γέγραπται, ἀφ' ὧν τοῖς νέοις αἱ μὲν ἡδοναὶ κεναί, ἀρετὴ δ' οὐκ ἔνι· διατριβὴν δ' ἄλλως παρέχει τοῖς ἐλπίσασί τι ἐξ αὐτῶν μαθήσεσθαι μάτην, καὶ ἑτέρων κωλύει χρησίμων, καὶ διδάσκει κακά.

γ'. Μέμφομαι οὖν αὐτοῖς τὰ μὲν μεγάλα, μειζόνως· περὶ δὲ ὧν γράφουσιν, ὅτι τὰ μὲν ῥήματα αὐτοῖς ἐζήτηται, γνῶμαι δὲ ὀρθῶς ἔχουσαι, αἷς ἂν παιδεύοιντο οἱ νεώτεροι ἐπ' ἀρετήν, οὐδαμοῦ.

δ'. Ἐγὼ δὲ ἰδιώτης μὲν εἰμι, οἶδα δὲ, ὅτι κράτιστον μὲν ἐστι παρὰ τῆς αὐτῆς φύσεως τὸ ἀγαθὸν διδάσκεσθαι· δεύτερον δὲ, παρὰ τῶν ἀληθῶς ἀγαθόν τι ἐπισταμένων, μᾶλλον ἢ ὑπὸ τῶν ἐξαπατᾶν τέχνην ἐχόντων.

ε'. Ἴσως οὖν τοῖς μὲν ὀνόμασιν οὐ σεσοφισμένως λέγω· (οὐδὲ γὰρ ζητῶ τοῦτο·) ὧν δὲ δέονται εἰς ἀρετὴν οἱ καλῶς πεπαιδευμένοι, ὀρθῶς ἐγνωσμένα ζητῶ λέγειν. ὀνόματα

2. Sed multa de rebus vanis ab eis perſcripta ſunt, ex quibus voluptates quidem inanes juventus, at fructum virtutis nullum percipit. Eadem & remorantur ac detinent illos qui fruſtra doctrinam ex eis aliquam ſibi pollicentur; & ab aliis utilibus avocant, illorumque loco vitioſa tradunt.

3. Quamobrem eos ob illa quæ graviora ſunt, gravius reprehendo: in ſcriptis vero, quod verba quidem exquiſita ſint, rectæ vero ſententiæ, quibus juniores ad virtutem inſtituerentur, nuſquam adpareant.

4. Equidem licet rerum imperitus, ſcio tamen optimum eſſe, ab ipſa natura id quod bonum eſt, doceri: proximum, ab iis potius qui vere boni alicujus ſcientiam nancti ſunt, quam ab aliis qui fallendi artificium tenent.

5. Itaque verbis forſitan non eleganter utor, quod hæc non adfecto; ſed ea, quibus ad virtutem præclare inſtitutis opus eſt, à me recte cognita proferre cupio. Nam ver-

ματα μὲν γὰρ οὐκ ἂν παιδεύσειαν, γνῶμαι δέ, εἰ καλῶς ἔχοιεν.

ϛʹ. Ψέγουσι δὲ καὶ ἄλλοι πολλοὶ τοὺς νῦν σοφιστάς, καὶ οὐ τοὺς φιλοσόφους, ὅτι ἐν τοῖς ὀνόμασι σοφίζονται, καὶ οὐκ ἐν τοῖς νοήμασιν. οὐ λανθάνει δέ με, ὅτι * καλῶς καὶ ἑξῆς γεγράφθαι. ῥᾴδιον γὰρ ἔσται αὐτοῖς ταχύ, μὴ ὀρθῶς, μέμψασθαι.

ζʹ. Καίτοι γέγραπται γε οὕτως, ἵνα ὀρθῶς ἔχῃ, καὶ μὴ σοφιστικοὺς ποιῇ, ἀλλὰ σοφούς, καὶ ἀγαθούς. οὐ γὰρ δοκεῖν αὐτὰ βούλομαι μᾶλλον, ἢ εἶναι χρήσιμα, ἵνα ἀνεξέλεγκτα ᾖ εἰς ἀεί.

ηʹ. Οἱ σοφισταὶ δ' ἐπὶ τῷ ἐξαπατᾷν λέγουσι καὶ γράφουσιν, ἐπὶ τῷ ἑαυτῶν κέρδει, καὶ οὐδένα οὐδὲν ὠφελοῦσιν. οὐδὲ γὰρ σοφὸς αὐτῶν ἐγένετο οὐδείς, οὐδ' ἔστιν, ἀλλὰ καὶ ἀρκεῖ ἑκάστῳ σοφιστὴν κληθῆναι· ὅ ἐστιν ὄνειδος παρά γε τοῖς εὖ φρονοῦσι.

θʹ. Τὰ

verba quidem ut parum ad institutionem conferunt; ita sententiæ sunt utiles, si doctrinam egregiam contineant.

6. Vituperant autem & alii plerique professores istos sapientiæ sæculi nostri, non sapientiæ studiosos; quod in verbis, non animorum sensibus, sapientiæ suæ acumen ostentent. Nec me latet, quod præstaret hæc à me scripta non esse. Nam facile ipsis erit, aliquid cito, licet non recte, reprehendere.

7. Scripta tamen ita sunt, ut recte se habeant; nec ostentatores sapientiæ, sed reapse sapientes ac bonos efficiant. Neque enim hæc videri malo, quam esse utilia; ut nunquam refutari possint.

8. At illi sapientiæ professores ad fallendum & proferunt & scribunt sua, lucri sui caussa, nec quidquam ulli hominum prosunt. Quippe nullus eorum nec fuit, nec est sapiens; sed unicuique sufficit habere nomen professoris sapientiæ, quod apud recte sentientes ignominiosum est.

9. Qua-

θʹ. Τὰ μὲν οὖν τῶν σοφιστῶν παραγγέλματα παραινῶ φυλάττεσθαι, τὰ δὲ τῶν φιλοσόφων ἐνθυμήματα μὴ ἀτιμάζειν. οἱ μὲν γὰρ σοφισταὶ πλουσίους καὶ νέους θηρῶνται, οἱ δὲ φιλόσοφοι πᾶσι κοινοὶ καὶ φίλοι. τύχας δὲ ἀνδρῶν οὔτε τιμῶσιν, οὔτε ἀτιμάζουσι.

ιʹ. Μὴ ζηλοῦν δὲ μηδὲ τοὺς ἐπὶ τὰς πλεονεξίας εἰκῇ ἰόντας, μήτ᾽ ἐπὶ τὰς ἰδίας, μήτ᾽ ἐπὶ τὰς δημοσίας· ἐνθυμηθέντα, ὅτι οἱ μὲν ἄριστοι αὐτῶν γιγνώσκονται μὲν ἐπὶ τὰ βελτίω, ἐπίπονοί τ᾽ εἰσίν, οἱ δὲ κακοὶ πάσχουσί τε κακῶς, καὶ γιγνώσκονται ἐπὶ τὰ χείρω.

ιαʹ. Τάς τε γὰρ τῶν ἰδιωτῶν οὐσίας ἀφαιρούμενοι, καὶ τὰς τῆς πόλεως, εἰς τὰς κοινὰς σωτηρίας ἀνωφελέστεροί εἰσι τῶν ἰδιωτῶν· τά τε σώματα πρὸς τὸν πόλεμον κάκιστα καὶ αἴσχιστα ἔχουσι, πονεῖν οὐ δυνάμενοι. οἱ δὲ κυνηγέται εἰς τὸ κοινὸν τοῖς πολίταις καὶ τὰ σώματα

31. Quapropter horum sapientiæ professorum præcepta cavenda moneo, sapientiæ vero studiosorum inventa cogitataque nequaquam rejicienda. Nam ut illi sapientiæ professores aucupantur eos qui divites sunt, & juvenes: ita communes sunt & amici omnibus, hi sapientiæ studiosi. Fortunas hominum iidem ut in pretio non habent, ita nec ignominiosas ducunt.

10. Non illos item moneo tibi æmulandos, qui ad captandas conditiones meliores temere feruntur, sive privatis in rebus, seu publicis: & hac quidem in consideratione, quod optimi ex illis ob res bene gestas noti sint, tanquam laboriosi; quum improbi turpiter in ærumnas incidant, & flagitiosis è rebus clari sint.

11. Quippe quum & privatis auferant bona sua, & rempublicam expilent, minus ad salutem communem utilitatis adferunt, quam homines imperiti; & habent corpora bello ineptissima, fœdeque constituta, quum laboribus ferendis impares sint. At venatores & corpora & bona sua civibus bene

ματα καὶ τὰ κτήματα καλῶς ἔχοντα παρέχουσιν.

ιβʹ. Ἔρχονται δέ, οἱ μὲν ἐπὶ τὰ θηρία, οἱ δ᾽ ἐπὶ τοὺς φίλους. καὶ οἱ μὲν ἐπὶ τοὺς φίλους ἰόντες, δύσκλειαν ἔχουσι παρὰ πᾶσιν· οἱ δὲ κυνηγέται, ἐπὶ τὰ θηρία ἰόντες, εὔκλειαν. ἑλόντες μὲν γάρ, πολέμια νικῶσι· μὴ ἑλόντες δέ, πρῶτον μέν, ὅτι πάσης τῆς πόλεως ἐχθροῖς ἐπιχειροῦσιν, ἔπαινον ἔχουσιν· ἔπειτα, ὅτι οὔτ᾽ ἐπ᾽ ἀνδρὸς βλάβῃ, οὔτε φιλοκερδείᾳ ἔρχονται.

ιγʹ. Ἔπειτα ἐξ αὐτοῦ τοῦ ἐπιχειρήματος βελτίους γίγνονται πρὸς πολλά, καὶ σοφώτεροι, δι᾽ ὃ διδάξομεν. ἐὰν γὰρ μὴ πόνοις, καὶ ἐνθυμήμασι, καὶ ἐπιμελείαις πολλαῖς ὑπερβάλλωνται, οὐκ ἂν ἕλοιεν ἄγρας.

ιδʹ. Τὰ γὰρ ἀντίπαλα αὐτῶν, ὑπὲρ τῆς ψυχῆς ἀγωνιζόμενα, καὶ ἐν τῇ αὐτῶν οἰκήσει, ἐν ἰσχύϊ πολλῇ ἐστίν. ὥστε τῷ κυνηγέτῃ μάτην οἱ πόνοι γίγνονται, ἐὰν μὴ μείζονι φιλοπονίᾳ, καὶ πολλῇ συνέσει κρατήσῃ αὐτῶν.

ιεʹ. Οἱ μὲν οὖν κατὰ πόλιν βουλόμενοι πλεονεκτεῖν,

μελε-

bene comparata in medium exhibent.

12. Et hi quidem feras invadunt, illi amicos. Qui amicos adgrediuntur, apud omnes infames sunt: venatores, dum feras adoriuntur, laudem inveniunt. Nam si feras ceperint, belluas hostiles vincunt; sin minus, laudantur tamen: primum, quia civitatis totius inimicos adgrediuntur: deinde, quod nec ullius hominis damno, nec lucri cupiditate id faciant.

13. Ex hoc ipso denique conatu ad pleraque meliores & peritiores evadunt ex ratione quam ostendemus. Quippe nisi laboribus, & cogitationum inventis, & magna diligentia longe præstarent, prædas nullas caperent.

14. Nam hostes eorum pro vita dimicantes, & in suo ipsorum domicilio, magnum robur habeant. Itaque venator frustra laboraret, nisi feras industria majori, ac prudentia copiosa superaret.

15. Ergo quotquot in civitate meliori esse supra cæteros condi-

tione

μελετῶσι νικᾶν φίλους· οἱ δὲ κυνηγέται, κοινοὺς ἐχθρούς· καὶ τοὺς μὲν ἡ μελέτη αὕτη ποιεῖ πρὸς τοὺς ἄλλους πολεμίους ἀμείνους, τοὺς δὲ, πολὺ χείρους. καὶ τοῖς μὲν ἡ ἄγρα μετὰ σωφροσύνης, τοῖς δὲ μετὰ αἰσχροῦ θράσους.

ις'. Κακοηθείας δὲ καὶ αἰσχροκερδείας οἱ μὲν δύνανται καταφρονεῖν, οἱ δὲ οὐ δύνανται. φωνὴν δὲ οἱ μὲν εὐεπῆ ἱᾶσιν, οἱ δ' αἰσχράν. πρὸς δὲ τὰ θεῖα τοῖς μὲν οὐδὲν ἐμποδὼν ἀσεβεῖν, οἱ δ', εὐσεβέστατοι.

ιζ'. Λόγοι γὰρ παλαιοὶ κατέχουσιν, ὡς καὶ Θεοὶ τούτῳ τῷ ἔργῳ χαίρουσι καὶ πράττοντες, καὶ ὁρῶντες· ὥστε ὑπάρχειν ἐνθυμουμένους τούτων, θεοφιλεῖς τ' εἶναι, καὶ εὐσεβεῖς τοὺς νέους, τοὺς ποιοῦντας ἃ ἐγὼ παραινῶ, οἰομένους ὑπὸ θεῶν του ὁρᾶσθαι ταῦτα. οὗτοι δ' ἂν εἶεν καὶ τοκεῦσιν ἀγαθοὶ, καὶ πάσῃ τῇ ἑαυτῶν πόλει, καὶ ἑνὶ ἑκάστῳ τῶν πολιτῶν καὶ φίλων.

ιη'. Οὐ μόνον δὲ ὅσοι ἄνδρες κυνηγεσιῶν ἠράσθησαν, ἐγένοντο ἀγαθοὶ,

tione volunt, amicos vincere contendunt: venatores autem, communes inimicos. Et hos quidem hæc exercitatio præstantiores facit adversus alios hostes, illos multo deteriores: & sua utrisque venatio, his cum prudentia, illis cum turpi audacia conjuncta.

16. Malitiam & quæstum hi contemnere possunt, illi non possunt: vocem hi bona proferentem emittunt, illi turpem. Adversus ipsum numen nihil illos ab impietate deterret, at hi religiosissimi sunt.

17. Perhibetur enim anriquo mortalium sermone, Deos etiam hoc opere tum faciundo tum spectando voluptatem percipere. Quo fit, ut juvenes hæc ad animos revocantes, quæ ipse moneo, si ea faciant, religiosi sint & pii, quum hæc ab aliquo numine spectari arbitrentur: iidemque in parentes, in patriam universam, in unumquemque civium, in amicos egregie se gerent.

18. Neque viri duntaxat, quotquot venationum fuere studiosi, laudem præclaram adepti sunt;

ἀγαθοὶ, ἀλλὰ ϗ αἱ γυναῖκες (αἷς ἔδωκεν ἡ θεὸς ταῦτα Αρτεμις,) Αταλάντη, ϗ Πρόκρις, ϗ εἴ τις ἄλλη.

ΕΚ

ſed etiam fœminæ, quibus hæc Diana largita eſt, ut Atalanta, Procris, & ſi qua præter has alia fuit.

Ε Χε-

ΕΚ ΤΗΣ ΞΕΝΟΦΩΝΤΟΣ
(c) πρὸς Αἰσχίνην ἐπιστολῆς.

ΣΥΝΤΥΧΩΝ μοι Ἑρμογένης τά τε ἄλλα διεξῄει, καὶ περὶ σοῦ δὲ πυθομένου, ἥν τινα ἔχοις φιλοσοφίας ἐπιμέλειαν, ἀπεκρίνατο, τὴν αὐτὴν Σωκράτει. ἐγὼ δὲ καὶ ἡνίκα Ἀθήνησι διέτριβες, τῆς γνώμης σε ἠγάσθην.

β΄. Ὥσπερ οὖν ἠρξάμην σε θαυμάζων, οὕτω καὶ νῦν, παρὰ ὁντινοῦν τῶν σοφίαν ἀσπασαμένων, τεθαύμακα τὸ ἀμετάκλαστόν σου τῆς γνώμης. μέγιστον γὰρ, ὡς ἐγῷμαι, τεκμήριον ἀρετῆς, ἁλόντος ὑπὸ τἀνδρὸς ἐκείνου, εἴπερ θνητὸν καλεῖν τὸν Σωκράτους ἡγοῦντο βίον.

γ΄. Ὅτι μὲν γὰρ τὰ θεῖα ὑπὲρ ἡμᾶς, παντὶ δῆλον. ἀπόχρη

δὲ

E XENOPHONTIS
ad Æſchinem Epiſtola.

POSTEAQUAM me conveniſſet Hermogenes, cum alia quædam narravit, tum me de te interrogante, quodnam philoſophiæ ſtudium ſequereris: idem, reſpondit, quod Socrates. Ego vero, etiam quum Athenis ageres, propter hunc animum te admiratus ſum.

2. Quemadmodum igitur admirari te cœpi, ſic nunc quoque præ quovis alio philoſophiæ ſtudioſo animi tui conſtantiam demiror. Maximum enim, ut mihi videtur, argumentum eſt virtutis tuæ; quod is vir te ceperit, ſi modo vitam Socratis mortalem aliquis dicendam putat.

3. Cæterum numina ſupra nos eſſe, cuivis conſtat. Satis quidem

δὲ * τῷ κρείττονι τῆς δυνάμεως αὐτοὺς σέβειν. οἷοι δέ εἰσιν, οὔτε εὑρεῖν ῥᾴδιον, οὔτε ζητεῖν θεμιτόν. οὐδὲ γὰρ δεσποτῶν φύσιν ἢ πρᾶξιν δούλοις δεῖ εἰδέναι, οἷς οὐδὲν πλέον ὑπηρεσίας προσήκει.

δ'. (d) Καὶ τὸ μέγιστον, ὅσῳ χρὴ ἄγασθαι τἀνθρώπινα διαποιουμένον, * τοσῷδε τῆς δόξης ἐκ πολλῶν ἀκαίρων καὶ κενῶν γλιχομένοις ἄχθος φέρει.

ε'. Πότε γὰρ, ὦ Αἰσχίνη, Σωκράτους ἀκήκοέ τις οὐρανίων πέρι λέγοντος, ἢ γραμμὰς εἰς ἐπανόρθωσιν παραινοῦντος μανθάνειν; μουσικὴν μὲν γὰρ ἴσμεν αὐτὸν μέχρι ὤτων συνιέντα. διετέλει δὲ ἑκάστοτε αὐτοῖς λέγων τί καλὸν, καὶ τί ἀνδρεία τε, καὶ δικαιοσύνη, καὶ αἱ ἄλλαι ἀρεταί.

ϛ'. Ἀνθρώπινα γὰρ αὐτὰ ἀγαθὰ ἐκάλει, τὰ δ' ἄλλα ἢ ἀδύνατα ἀνθρώποις ἁλῶναι ἔφασκεν, ἢ μύθων εἶναι συγγενῆ, μετ' ὀφρύος σοφιστῶν (e) παίγνια διεξιόν-

dem est, ea majorem ob potestatem venerari. Quales autem & qui sint Dii, nec inveniri facile potest, nec inquiri fas est. Quippe servorum etiam non interest scire naturam aut facta dominorum suorum; ut quibus nihil præterea conveniat, quam inservire.

4. Quodq; maximum est, quanto majorem admirationem merentur, qui res humanas tractant; tanto plus hoc iis adfert oneris ac molestiæ, qui gloriam de multis intempestivis ac vanis rebus adfectãt.

5. Nam quando audivit quisquam, ô Æschines, Socratem de rebus cœlestibus disserentem, vel ad lineas ac figuras emendandæ vitæ gratia discendas hortantem? Musicam enim scimus ipsum intellexisse non ultra judicium aurium. Quin semper aliquid egregii suis dicere non desinebat, quid esset fortitudo, quid justitia, quid virtutes cæteræ.

6. Vocabat autem hæc bona humana, cætera vero vel homines adsequi non posse, vel fabulis esse cognata dicebat, qualia superciliosi sapientiæ professores ridicula commemorarent.

διεξιόντων. καὶ οὐκ ἔλεγε μὲν ταῦτα, * οὐχὶ δὲ ἔπραττε. (f) γράφειν δὲ τὰ πραχθέντα εἰδότι σοί, καίπερ οὐκ ἀηδὲς ἐσόμενον, χρόνον ἔχει, ἀνέγραψά τε ἄλλοθι.

ζ'. Παυσάσθωσαν οὖν ἐλεγχόμενοι, ἢ πρὸς τὸ εἰκὸς ἴτωσαν, οἷς ὁ Σωκράτης οὐκ ἤρεσκεν, ᾧ ζῶντι μὲν ὁ θεὸς σοφίαν ἐμαρτύρησεν, (a) δὲ κτείναντες τῆς μετανοίας ἀποκάθαρσιν οὐχ εὗρον.

η'. Τὸ δὲ καλὸν ἄρα, * Αἰγύπτου ἐρασθῆναι, καὶ τῆς Πυθαγόρου τερατώδους σοφίας, ὧν τὸ περιττὸν καὶ μὴ μόνιμον ἐπὶ * Σωκράτην ἤλεγξεν ἔρως τυραννίδος, καὶ ἀντὶ διαίτης λιτῆς, Σικελιώτις γαστρὸς ἀμέτρου τράπεζα.

EK

memorarent. Neque vero verbis hæc ita tradebat, ut factis eadem non præstaret. Verum ad te illa non ignorantem perſcribi, quæ à Socrate geſta ſunt, quamquam ingratum futurum non ſit; tamen & prolixum fuerit, & alibi à nobis eſt præſtitum.

7. Deſinant igitur convicti, vel ad id accedant, quod probabile eſt, quibus Socrates non placuit; quum ei vivo ſapientiæ teſtimonium Deus exhibuerit, interfectores vero ejus pœnitentiæ ſuæ purgationem non invenerint.

8. Illi vero egregii viri, Ægypti & prodigioſæ Pythagoræ ſapientiæ amore capti ſunt, quorum ſupervacaneum & inconſtans erga Socratem ſtudium tyrannidis amor redarguit, & Sicula ventris immoderati menſa frugalitati victus antepoſita.

EX

ΕΚ ΤΗΣ ΞΕΝΟΦΩΝΤΟΣ

(g) πρὸς Κρίτωνα ἐπιστολῆς.

Εὖ γὰρ ἴσθι Σωκράτην πρὸς ἡμᾶς πολλάκις εἰπόντα, ὅτι οἱ τῶν υἱέων ἵνα πολλὴν μὲν ἔχωσιν οὐσίαν φροντίζοντες, ἵνα δὲ καλοὶ κἀγαθοὶ γένωνται ἀμελοῦντες, ἴσον πεπόνθασι τοῖς ἱπποτρόφουσι, καὶ τὰ μὲν πολεμικὰ οὐ διδάσκουσι, τροφὴν δὲ παμπόλλην παρεχομένοις.

β'. Οὕτω γὰρ πιοτέροις μὲν τοῖς ἵπποις χρήσονται, ἀπείροις δὲ ὧν χρή. εἶναι γὰρ ἵππου ἀρετὴν, οὐ τὴν εὐσαρκίαν, τὴν δὲ κατὰ πόλεμον εὐτολμίαν καὶ ἐμπειρίαν.

γ'. Τὰ αὐτὰ δ' οἶμαι ἐξαμαρτάνειν καὶ τοὺς γῆν πολλὴν κτωμένους τοῖς υἱέσιν, αὐτῶν δὲ μὴ ἐπιμελουμένους. ἃ γὰρ κεκλήσονται,

EX EPISTOLA XENOPHONTIS

Ad Critonem.

Scias frequenter ad nos dixisse Socratem, quod illi, qui liberis suis de multis facultatibus prospiciunt, ut autem boni ac egregii evadant, negligunt; simile quid agant equos alentibus, qui bellicos ad usus eos non instituunt, & multum pabuli exhibent.

2. Sic enim equos habituri sunt pinguiores, sed eorum, quæ præstare oportebat, imperitos. Nam equi virtutem ac laudem non in corpulentia, sed audacia peritiaque bellici usus, sitam esse.

3. Eodem modo & illos peccare, qui filiis multos agros comparant, ipsosmet vero negligunt. Nam prædia magni pretii æstimationem

σονται, πολλοῦ ἄξια νομισθήσονται, αὐτοὶ δὲ ὀλίγου. προσήκει δὲ τὸ φυλάττον τοῦ κληθέντος ἀξιοτιμότερον εἶναι.

δ'. Καὶ τοίνυν ὁ τὸν ἑαυτοῦ παῖδα πολλοῦ ἄξιον ἀποδείξας, κἂν ὀλίγα καταλίπῃ, πολλὰ ἔδωκε. γνώμη γὰρ ἢ πλείω ἢ ἐλάττω ταῦτα, ἀγαθῇ μὲν ἔμμετρα, ἐκμελεῖ δὲ καὶ ἀπαιδεύτῳ, ὀλίγα.

ε'. Σὺ δὲ οὐδὲν πλείω τῶν ἀναγκαίων παρέχεις, ἃ τοῖς μὲν διὰ παιδεύσεως ἰοῦσιν ἀναγκαῖά τε καὶ πλούσια νομίζεται. τοῖς δ' ἀμαθέσι τὸ μὲν ἀλγεινὸν τῆς σαρκὸς ἐκλύει, τὴν δὲ περὶ τοῦ μέλλοντος δυσελπιστίαν οὐ μειοῖ.

EK

mationem habebunt, ipsi viles erunt: quum oporteat è contrario custodientem re possessa longe majoris esse dignitatis ac pretii.

4. Quamobrem siquis filium suum magni pretii hominem effecerit, quamvis paucas opes ei relinquat, multa tamen largitus est. Animus enim facit, ut res vel multæ vel paucæ appareant, quippe animo bono, quidquid possidet, moderatum est: rudi autem & recte non instituto, exiguum.

5. Tu vero non plura, quam necessitas postulat, das filiis tuis; quæ sane recta institutione utentes, ut necessaria, sic satis esse sibi copiosa existimant: imperitis vero præsentem quidem corporis molestiam remittunt, at futuri temporis exspectationem metu plenam non imminuunt.

ΕΚ ΤΗΣ ΞΕΝΟΦΩΝΤΟΣ

(h) πρὸς Σώτειραν ἐπιστολῆς.

Ἐμοὶ δὲ δοκεῖ, ὦ Σώτειρα, οὔτε ὁ θάνατος αἰσχρὸν, οὔτε τι καλὸν εἶναι· ὅρος δὲ ζωῆς, οὐχ εἷς * πάντων, ἀνισάριθμον ἔτη φέρων τὸ μὴ ὅμοιον τῆς γενέσεως, * τῇ ἰσχύϊ ἢ ἀῤῥωστίᾳ· τὴν δὲ πρόφασιν ποτὲ μὲν αἰσχρὰν οὖσαν, ἐφέλκεσθαι θάνατον, * ὅπου δὲ καλὴν καὶ πρεπώδη.

(i) Ἐκ τῆς αὐτῆς ἐπιστολῆς.

Ἀλλ' οὔτε ἐπὶ θανάτῳ προσήκει τοσοῦτον πένθος εὑρέσθαι· ἐπισταμένῳ, ὅτι ὁδοῦ ἀνθρωπίνης χρὴ νομίζειν ἀρχὴν μὲν γένεσιν, τέλος δὲ θάνατον. ἀπέθανε δὲ,

EX EPISTOLA XENOPHONTIS

Ad Sotiram.

Mihi vero mors ipſa nec turpe quiddam, nec honeſtum eſſe videtur: ſed tantum eſſe vitæ terminus, non idem omnium, inæqualitatem annorum ferens ex diſſimilitudine ipſius ortus, & pro ratione roboris aut infirmitatis: occaſionem vero nonnunquam turpem, interdum pulchram ac decoram, homini mortem adtrahere.

Ex eadem Epiſtola.

Ne quidem mortis cauſſa tantum luctum excogitare convenit, quum ſcias, initium viæ mortalium exiſtimari debere nativitatem; finem vero, mortem. Eſt autem

δὲ, ὅπερ ἂν καὶ ὁ μὴ θέλων ἔπαθε· τὸ δὲ καλῶς, ἑκόντος τε ἔργον, καὶ ἃ χρὴ παιδευθέντος. μακάριος οὖν δὴ Γρύλλος, καὶ ὅστις οὐ τὸ μήκιστον ἑλόμενος τοῦ βίου, τὸ δὲ μετὰ ἀρετῆς, καὶ εἰ βραχὺν αὐτῷ ἔδωκεν αἰῶνα ὁ Θεός.

ΕΚ ΤΗΣ ΞΕΝΟΦΩΝΤΟΣ

(k) πρὸς Λαμπροκλέα ἐπιστολῆς,

ἣν περ οἱ ἄλλοι τῷ Ξενοφάνει ἀνατιθέασι.

ΠΡΩΤΟΝ γὰρ ἂν δέξαιο Σωκράτους ὑπερφυὲς δίδαγμα, πλοῦτον μετρεῖν χρήσει. οὐ γὰρ ἔφη Σωκράτης εἶναι τὴν ὑπέρμετρον κτῆσιν, πλοῦτον· τὸ δὲ, ὅσοις προσήκει χρῆσθαι· ἔπειτα δὲ, τούτων μὴ διαμαρτάνειν. τῷ γὰρ ὄντι τούτους κεκλῆσθαι εὐπόρους, τοὺς δὲ ἄλλους πένητας ἀπεκάλει, καὶ ἀνίατον αὐτοὺς

tem mortuus, quod cuivis etiam invito contingit: præclare vero mortuum esse hominis voluntarii, & ut convenit instituti, opus est. Beatus est igitur Gryllus, & quicumq; non longissimam, sed cum virtute conjunctam vitam eligit: etsi breve tempus ætatis Deus ei concesserit.

EX EPISTOLA XENOPHONTIS

Ad Lamproclem,

quam alii Xenophani adscribunt.

PRIMUM Socratis admirabilem doctrinam approbare debes, qui divitias ex usu metiri jubebat. Non enim immensas possessiones, divitias vocabat; sed tantum quantum requiritur ad usum decentem. Monebat autem, ne in his judicio falleremur. Illos enim vocari revera divites; reliquos autem,

pau-

αὐτοὺς ἔφασκε πενίαν πένεσθαι. ψυχῆς γὰρ εἶναι τὸ ἀῤῥώστημα, οὐ κτήσεως.

pauperes adpellabat: & incurabili paupertate laborare dicebat: quod animi esset imbecillitas, non possessionis.

Variæ

Variæ Lectiones cum Annotatiunculis.

Lib. de Re Equestri.

PAG. 3. (a) Partes callosæ (sive ossa) in cruribus equorum, inter ungulam & suram, ita dictæ à pedibus caninis. *p. 6. l. 5.* al. ἐυχυλότερον. *p. 7. l. 8.* fortè ὄπισθεν. *p. 9. l. 9.* Omittendum videtur μὴ ante ὀργίζεσθαι. *p. 12.* (b) Τὰς ἵππους φασὶ ῥαδίως παρατλομθύους, ὑπόπλας λέγεσθαι. Schol. Thucyd. *p. 14. l. 13.* fortè σῶμα. *p. 22. l. 3.* legit Leuncl. Χρὴ δὲ τὸν ἵππον μὴ κατὰ τοιάδε παροξύνεσθαι. *p. 24. l. 5.* al. αὐτοῦ. *p. 34. l. 13.* fortè ἀπελαύνειν. *p. 35. l. 1.* al. ἴη. *p. 37. l. 16.* legendum videtur καταψῶσι. *p. 39. l. 1.* al. κλωσμῷ. *p. 40. l. 15.* rect. αὐτός. *p. 43. l. 5.* fortè τούτῳ. *p. 44. l. 11.* locum hunc ita emendat & restituit Leuncl. πεισθεὶς λυπεῖται. *p. 52. l. 7.* Expungendum videtur τοῦ ἵππου.

Lib. de Magist. Equit. sive Hipparchicus.

Libellus hic à Xenophonte scriptus putatur ad Gryllum filium. *p. 57. l. 16.* Legendum monet Leuncl. τοὺς τῆς βουλῆς· forte rectiùs (nulla casus mutatione facta, sed interjecta præp. κατὰ quæ per incuriam elapsa fuisse videtur) τοὺς κατὰ τὴν βουλὴν. *p. 58. l. 9.* al. ἐπιστροφή. *p. 61. l. 16.* al. πρὸ τῶν ἀνθιππ. *p. 64. l. 13.* al. προφυλάκας. *p. 68. l. 13.* al. ἀναβεβασμένῳ. *p. 70. l. 1.* fortè οὕτως. *p. 72. l. 2.* al. ἐννοῶν. *l. 12.* Omissum videtur καταστατέον. *p. 91. l. 9.* al. εὖ ὀχούμενοι. *l. 10.* fortè μὴ ἐκπεπληγμένοι. *p. 99. l. 1.* al. ἐυπειστότερον.

Lib. de Venatione.

P. 106. l. 2. al. αὐτοί. *l. 12.* Hunc locum ita corrigit Leuncl. παιδεύματα τιμὴν ἔχοντα, σκεψ. *p. 111. l. 1.* al. ἄκραν δὲ τὴν οὐράν. *p. 114. l. 10.* al. ἐπίρικνα. *p. 132. l. 7.* al. ἐπιλλαγμένων. *l. 15.* al. τὰς οὐρὰς διασ. *p. 133. l. 15.* ἀναβολὴν δι᾽ ἐκεῖνον. *p. 134. l. 16.* fortè τοὔμπαλιν, τοὔμπ. *p. 137. l. 12.* legit Leuncl. μὴ διὰ φιλοπ. διαφθαρῶσι. *p. 139. l. 15.* locum hunc ita corrigit Leuncl. τὰ δὲ δρομαῖα τῶν ἰχνῶν, ἕως ἂν εὕρωσι, μεταθεῖν. & *p. 140. l. 3.* μὴ ἀκόσμως ἀεὶ τοῦτον ζητοῦσι. *l. 6.* fortè ὅταν εὕρωσί τι. *p. 143. l. 13.*

l. 13. al. τούς. *p.* 154. *l.* 13. legendum censet Leuncl. τῇ γὰρ ξύμῃ τῆς ἐκκρ. *p.* 158. *l.* 7. al. νεαρά. *p.* 164. *l.* 6. fortè παρέχοντες. *p.* 168. *l.* 5. fortè καλῶς τάδε ἔξει, μὴ γεγράφθαι. *l.* 6. ταχύ τι, μή.

Epist. ad Æschinem.

P. 173. (c) Fragmentum hoc reperitur in Stobæi Serm. de Diis & (magna ex parte) in Eusebii Evangel. præpar. l. 14. c. 12. *p.* 174. *l.* 1. al. τὸ κρεῖττον τῆς δύν. οὕτω σεϐ. *l.* 5. (d) Tota hæc Paragraphe in vet. quibusdam exemplaribus non occurrisse videtur, quippe quæ à Conrado Gesnero prorsus omissa est in Latina hujus Epistolæ Interpretatione, ac proinde asterisco notata à Stephano, uti & *l.* 16. (e) vocab. παίγνια. Sed locum hunc transtulit Leunclavius, mutato (*l.* 6.) τοσῷδε in τόσον τόδε τοῖς. *p.* 175. *l.* 1. al. οὐκ ἤδει δὲ πράττειν. *l.* 2. Tota hæc periodus post (f) ab eodem Gesnero Latinè non est reddita, asterisco insuper à Stephano notata. *l.* 9. al. Αἰγ. γὰρ ἠράσθ. *l.* 11. al. Σωκράτει.

Epist. ad Critonem.

P. 176. (g) Occurrit hoc fragmentum apud eundem Stob. Serm. ὁποίους τινὰς χρὴ εἶναι πατέρας περὶ τὰ τέκνα.

Ep. ad Sotiram.

P. 178 (h) Stob. Ser. σύγκρισις ζωῆς καὶ θανάτου. *l.* 3. Locum hunc ita emendat Leuncl. πάντων, τὸ ἀνισ. ἐστὶν φέρων πρὸς μὴ ὁμοίῳ τῆς. & *l.* 4. τῇ τε ἰσχύι ἢ ἀξξουσίᾳ. & *l.* 5. ἐστιν οὐ. (i) Stob. Ser. πανηγυρικά.

Ep. ad Lamproclem.

P. 179. (k) Stob. Ser. περὶ σωφροσύνης.

ERRATA.

P. 25. *l.* 1. lege ἵππον. *p.* 55. in titulo scribe ἱππαρχικός.

FINIS.

TESTIMONIA
ALIQUOT
DE
Xenophonte
EX
SCRIPTORIBUS ANTIQUIS
EXCERPTA.

Testimonia Aliquot
de
XENOPHONTE
Ex Scriptoribus Antiquis Excerpta.

Ξενοφῶντος βίος ἐκ τοῦ Λαερτίου.

ΞΕΝΟΦΩΝ Γρύλλου μὲν ἦν υἱός, Ἀθηναῖος, τῶν δήμων Ἐρχιεύς, αἰδήμων δὲ καὶ εὐειδέστατος εἰς ὑπερβολήν. τούτῳ ἐν στενωπῷ φασιν ἀπαντήσαντα Σωκράτην διατεῖναι τὴν βακτηρίαν, καὶ κωλύειν παριέναι, πυνθανόμενον ποῦ πιπράσκοιτο τῶν προσφερομένων ἕκαστον. ἀποκριναμένου δέ, πάλιν πυθέσθαι, ποῦ δὲ καλοὶ κἀγαθοὶ γίνονται ἄνθρωποι; ἀπορήσαντος δέ, ἕπου τοίνυν, φάναι, καὶ μάνθανε.

β'. Καὶ τουντεῦθεν ἀκροατὴς Σωκράτους ἦν, καὶ πρῶτος ὑποσημειωσάμενος τὰ λεγόμενα εἰς ἀνθρώπους ἤγαγεν, ἀπομνημονεύματα ἐπιγράψας. ἀλλὰ καὶ ἱστορίαν φιλοσόφων πρῶτος ἔγραψε.

γ'. Καὶ

Xenophontis Vita ex Laertio.

XENOPHON, Grylli filius, Atheniensis fuit, oppido Erchia, verecundia & forma, supra quam dici potest, insignis. Huic Socratem in bivio obvium aiunt, porrecto scipione, eum accessu prohibuisse, quærentem, ubinam singula venirent cibaria; qui cum respondisset, rursus eum interrogasse fertur, ubinam homines boni atque honesti fierent; illo vero hæsitante, dixisse, sequere ergo me & addisce.

2. Ex eo tempore Socratis auditor fuit; primusque ab eo dicta literis consignans, hominibus edidit, Memorabilia inscribens. Sed & historiam philosophorum primus conscripsit.

3. Ari-

γ΄. Καὶ αὐτόν φησιν Ἀρίστιππος ἐν τετάρτῳ περὶ παλαιᾶς τρυφῆς, ἐρασθῆναι Κλεινίου, πρὸς ὃν καὶ ταῦτα εἰπεῖν· Νῦν γὰρ ἐγὼ Κλεινίαν ἥδιον μὲν θεῶμαι ἢ τἄλλα πάντα ἐν ἀνθρώποις καλά· τυφλὸς δὲ τῶν ἄλλων πάντων δεξαίμην ἂν ἢ Κλεινίου ἑνὸς ὄντος γενέσθαι. ἄχθομαι δὲ καὶ νυκτὶ καὶ ὕπνῳ, ὅτι ἐκεῖνον οὐχ ὁρῶ. ἡμέρᾳ δὲ καὶ ἡλίῳ τὴν μεγίστην χάριν οἶδα, ὅτι μοι Κλεινίαν ἀναφαίνουσι.

δ΄. Κύρῳ δὲ φίλος ἐγένετο τοῦτῳ τῷ τρόπῳ. ἦν αὐτῷ συνήθης Πρόξενος ὄνομα, γένος Βοιώτιος, μαθητὴς μὲν Γοργίου τοῦ Λεοντίνου, φίλος δὲ Κύρῳ. οὗτος ἐν Σάρδεσι διατρίβων παρὰ τῷ Κύρῳ, ἔπεμψεν εἰς Ἀθήνας ἐπιστολὴν Ξενοφῶντι, καλῶν αὐτόν, ἵνα γένηται Κύρῳ φίλος· ὁ δὲ τὴν ἐπιστολὴν δεικνύει Σωκράτει, καὶ σύμβουλον ἠρεῖτο.

ε΄. Καὶ ὃς ἀπέστειλεν αὐτὸν εἰς Δελφοὺς χρησόμενον τῷ θεῷ. πείθεται Ξενοφῶν, ἥκει παρὰ τὸν θεόν, πυνθάνεται οὐχὶ εἰ χρὴ ἀπιέναι πρὸς Κῦρον, ἀλλ᾽ ὅπως. ἐφ᾽ ᾧ καὶ Σωκράτης αὐτὸν

3. Aristippus in quarto de antiquis deliciis, Cliniam ab eo amatum scribit, ad quem illius hæc esse verba: Nunc enim libentius ego quidem Cliniam, quam cætera omnia, quæ inter homines pulchra sunt, aspicio: cæterarum vero rerum omnium magis, quam unius Cliniæ, cæcitatem ferre possum: nocti autem somnoque succenseo, quod ipsum non video. Diei vero & Soli maximam habeo gratiam, quod mihi Cliniam ostendunt.

4. In amicitiam Cyri pervenit hoc modo. Erat ei familiaris, Proxenus nomine, genere Bœotius, Gorgiæ Leontini discipulus, amicus Cyri. Is cum Sardibus apud Cyrum habitaret, epistolam Athenas ad Xenophontem misit, eum in amicitiam Cyri invitans: ille epistolam Socrati ostendit, ab eoque consilium petit.

5. Socrates ipsum Delphos misit oraculum petiturum. Paret Xenophon, ad oraculum venit, sciscitatur, non ille quidem utrum proficisci ad Cyrum oporteat, sed quomodo: qua de re Socrates eum objurga-

αὐτὸν ᾐτιᾶτο μὲν, συνεβούλευσε δὲ ἐξελθεῖν. καὶ ὃς γενόμενος παρὰ Κύρῳ, καὶ Προξένου φίλος οὐχ ἧττον ἦν αὐτῷ. τὰ μὲν οὖν ἄλλα τὰ κατὰ τὴν ἀνάβασιν γενόμενα καὶ τὴν κάθοδον, ἱκανῶς αὐτὸς ἡμῖν διηγεῖται.

ϛʹ. Ἐχθρῶς δὲ διέκειτο πρὸς Μένωνα τὸν Φαρσάλιον περὶ τὸν χρόνον τῆς ἀναβάσεως, τὸν ξεναγόν, ὅτε καὶ λοιδορῶν αὐτόν φησι αὐτοῦ μείζοσι κεχρῆσθαι παιδικοῖς. ἀλλὰ καὶ Ἀπολλωνίδῃ τινὶ ὀνειδίζει τετρῆσθαι τὰ ὦτα.

ζʹ. Μετὰ δὲ τήν τε ἀνάβασιν καὶ τὰς ἐν τῷ Πόντῳ συμφορὰς, καὶ τὰς παρασπονδήσεις τὰς Σεύθου τοῦ τῶν Ὀδρυσῶν βασιλέως, ἧκεν εἰς Ἀσίαν πρὸς Ἀγησίλαον τὸν Λακεδαιμονίων βασιλέα, μισθοῦ τοὺς Κύρου στρατιώτας αὐτῷ παρασχών· φίλος τε ἦν εἰς ὑπερβολήν. παρ' ὃν καιρὸν ἐπὶ Λακωνισμῷ φυγὴν ὑπ' Ἀθηναίων κατεγνώσθη.

ηʹ. Γενόμενος δ' ἐν Ἐφέσῳ, καὶ χρυσίον ἔχων, τὸ μὲν ἥμισυ Μεγαβύζῳ δίδωσι τῷ τῆς Ἀρτέμιδος ἱερεῖ, φυλάττειν ἕως ἂν

objurgavit, exeundi tamen consilium dedit. Sic ille ad Cyrum profectus est; neque minus ei, quam Proxenus, amicus fuit: ac cætera quidem quæ in profectione & reditu gesta sunt, satis ab eo nobis explicata.

6. Ipse vero cum Menone Pharsalio manipulari, sub ipsum profectionis tempus, inimicitias gerebat. Siquidem cum ei convitium faceret, majoribus se ait amoribus ac deliciis, quam eum, usum fuisse; sed & Apollonidi cuidam exprobrat, quod aures habet perforatas.

7. Cæterum post profectionem, & clades in Ponto acceptas, fœderaque à Seuthe Odrysiorum rege violata, in Asiam ad Agesilaum Lacedæmoniorum regem profectus, ei Cyri milites stipendio accepto tradidit, amicissimusque fuit. Quo tempore, propter Lacedæmoniarum studium partium, exilio ab Atheniensibus multatus est.

8. Ephesum autem veniens, cum aurum haberet, dimidium ejus Megabyso, Dianæ sacerdoti, quoad reverteretur, asservandum

 dedit;

ἂν ἐπανέλθῃ· εἰ δὲ μὴ, ἄγαλμα ποιησάμενον ἀναθεῖναι τῇ Θεῷ· τοῦ δὲ ἡμίσεος ἔπεμψεν εἰς Δελφοὺς ἀναθήματα.

θ'. Ἐντεῦθεν ἦλθε μετὰ Ἀγησιλάου εἰς τὴν Ἑλλάδα κεκλημένου εἰς τὸν πρὸς Θηβαίους πόλεμον· καὶ αὐτῷ προξενίαν ἔδοσαν Λακεδαιμόνιοι. ἐντεῦθεν ἐάσας τὸν Ἀγησίλαον ἦλθεν εἰς Σκιλλοῦντα, χωρίον τῆς Ἠλείας, ὀλίγον τῆς πόλεως ἀπέχον. εἵπετο δὲ αὐτῷ καὶ γύναιον ὄνομα Φιλησία, καθά φησι Δημήτριος ὁ Μάγνης, καὶ δύο υἱεῖς, Γρύλλος καὶ Διόδωρος, (ὥς φησι Δείναρχος ἐν τῷ πρὸς Ξενοφῶντα ἀποστασίου) οἳ καὶ Διόσκουροι ἐκαλοῦντο. ἀφικομένου δὲ τοῦ Μεγαβύζου κατὰ πρόφασιν τῆς πανηγύρεως, κομισάμενος τὰ χρήματα, χωρίον ἐπρίατο, καὶ καθιέρωσε τῇ Θεῷ, δι' οὗ ποταμὸς ἔρρει Σελινοῦς, ὁμώνυμος τῷ ἐν Ἐφέσῳ. τοὐντεῦθεν διετέλει κυνηγετῶν, καὶ τοὺς φίλους ἑστιῶν, καὶ τὰς ἱστορίας συγγράφων.

ι'. Φησὶ δ' ὁ Δείναρχος, ὅτι καὶ οἰκίαν καὶ ἀγρὸν αὐτῷ ἔδοσαν Λακεδαιμόνιοι. ἀλλὰ καὶ Φιλοπίδαν τὸν Σπαρπάτην

dedit; sin minus ex eo simulachrum factum Deæ dedicare jussit: ex dimidio autem dona Delphos misit.

9. Ex hoc loco cum Agesilao ad bellum contra Thebanos vocato in Græciam profectus est: cum eo Lacedæmonii etiam hospitium publicum fecerunt. Hinc omisso Agesilao Scilluntem venit, qui locus Elidis parum ab urbe abest. Eum muliercula sequuta est nomine Philesia, quemadmodum ait Demetrius Magnes, & duo filii, Gryllus & Diodorus, ut est apud Dinarchum in oratione ad Xenophontem apostasii, qui etiam Dioscuri vocabantur. Quo cum per causam publici omnium conventus Megabysus venisset, accepta ab eo pecunia, agrum emit ac Deæ consecravit, per quem fluvius fluit Selinus, eodem, quo is, qui Ephesi est, nomine. Ex hoc tempore venationibus & amicorum conviviis, scribendaque historia, vitam traduxit.

10. Dinarchus Lacedæmonios ei domum atque agrum dono dedisse ait. Sed & Philopidam Spartiatem,

πάτην φασὶν αὐτῷ πέμψαι αὐτόθι δωρεὰν ἀνδράποδα αἰχμάλωτα ἐκ Δαρδάνου, καὶ τὸ διαθέσθαι αὐτὰ ὡς ἐβούλετο.

ια'. Ἠλείους τε στρατευσαμένους εἰς τὸν Σκιλλοῦντα, καὶ βραδυνόντων Λακεδαιμονίων ἐξελεῖν τὸ χωρίον· ὅτε καὶ τοὺς υἱέας αὐτοῦ εἰς Λέπρεον ὑπεξελθεῖν μετ᾽ ὀλίγων οἰκετῶν, καὶ αὐτὸν Ξενοφῶντα εἰς τὴν Ἦλιν πρότερον, εἶτα καὶ εἰς Λέπρεον πρὸς τοὺς παῖδας, κἀκεῖθεν σὺν αὐτοῖς εἰς Κόρινθον διασωθῆναι, καὶ αὐτόθι κατοικῆσαι.

ιβ'. Ἐν τούτῳ δὲ ψηφισαμένων Ἀθηναίων βοηθεῖν Λακεδαιμονίοις, ἔπεμψε τοὺς παῖδας εἰς τὰς Ἀθήνας στρατευσομένους ὑπὲρ τῶν Λακεδαιμονίων. καὶ γὰρ ἐπεπαίδευντο αὐτόθι ἐν τῇ Σπάρτῃ, καθά φησι Διοκλῆς ἐν τοῖς βίοις τῶν φιλοσόφων.

ιγ'. Ὁ μὲν οὖν Διόδωρος οὐδὲν ἐπιφανὲς πράξας ἐκ τῆς μάχης ἀνασώζεται, καὶ αὐτῷ υἱὸς ὁμώνυμος τοῦ ἀδελφοῦ· ὁ δὲ Γρύλλος τεταγμένος κατὰ τοὺς ἱππέας (ἦν δὲ ἡ μάχη περὶ Μαντίνειαν) ἰσχυρῶς ἀγωνισάμενος ἐτελεύτησεν, ὥς φησιν

tiatem, aiunt, ſervos ei captivos è Dardano donum illuc uſque miſiſſe; de quibus eum ſic, ut voluerit, ſtatuiſſe.

11. Atque etiam Elidenſes Scilluntem cum exercitu profectos, tardantibus Lacedæmoniis, ei agrum ademiſſe: quo tempore filios cum paucis ſervis Lepreum clam profugiſſe, atque ipſum Xenophontem primo quidem in Elidem, deinde Lepreum quoque ad filios, atque inde cum iis Corinthium incolumem ſe recipiſſe, ibique domicilium habuiſſe.

12. Hoc tempore cum Athenienſes Lacedæmoniis opem ferre decreviſſent, filios pro Lacedæmoniis militaturos Athenas miſit. Nam ut eſt apud Diocle in vitis Philoſophorum, Spartæ apud eos educebantur.

13. Ac Diodorus quidem nulla re præclare geſta ex pugna ſervatur, eique filius, eodem, quo frater, nomine, naſcitur. Gryllus autem in equitum ordine locatus (erat autem ad Mantineam prælium) fortiſſime pugnans mortuus eſt, quemadmodum ait

 Ephorus

φησιν Ἔφορος ἐν τῇ πέμπτῃ καὶ εἰκοστῇ, Κηφισοδώρου μὲν ἱππαρχοῦντος, Ἡγησίλεω δὲ στρατηγοῦντος. ἐν ταύτῃ τῇ μάχῃ καὶ Ἐπαμινώνδας ἔπεσε.

ιδ΄. Τηνικαῦτα δὴ καὶ τὸν Ξενοφῶντά φασι θύειν ἐστεμμένον· ἀπαγγελθέντος δ' αὐτῷ τοῦ θανάτου, ἀποστεφανώσασθαι· ἔπειτα μαθόντα ὅτι γενναίως, πάλιν ἐπιθέσθαι τὸν στέφανον. ἔνιοι δὲ οὐδὲ δακρῦσαί φασιν αὐτὸν, ἀλλὰ γὰρ εἰπεῖν, ᾔδειν θνητὸν γεγεννηκώς.

ιε΄. Φησὶ δὲ Ἀριστοτέλης ὅτι ἐγκώμια καὶ ἐπιτάφιον Γρύλλου μυρίοι ὅσοι συνέγραψαν, τὸ μέρος καὶ τῷ πατρὶ χαριζόμενοι. ἀλλὰ καὶ Ἕρμιππος ἐν τῷ περὶ Θεοφράστου, καὶ Σωκράτη φησὶν ἐγκώμιον Γρύλλου γεγραφέναι. Τίμων δ' ἐπισκώπτει αὐτὸν ἐν τούτοις,

Ἀσθενική τε λόγων δυὰς ἢ τριὰς ἢ ἔτι πόρσω·
Οἷος Ξενοφόων ἴς τ' Αἰσχίνου οὐκ ἐπιπειθὴς Γράψαι.

ιϛ΄. Καὶ ὁ μὲν βίος αὐτῷ τοιόσδε. ἤκμαζε δὲ κατὰ τὸ τέταρτον ἔτος τῆς τετάρτης καὶ ἐνενηκοστῆς Ὀλυμπιάδος. καὶ ἀναβέβηκε

Ephorus in 25. Cephisodoro equitum præfecto, Hegesileo Imperatore. In hac pugna Epaminondas quoque cecidit.

14. Eo tempore Xenophontem ferunt coronatum sacrificantem, nunciata sibi filii morte, coronam deposuisse; sed paulo post, cum eum fortiter se gessisse accepisset, rursus coronam sibi imposuisse: quidam vero ne lachrymasse quidem illum aiunt, sed tantum dixisse, sciebam me genuisse mortalem.

15. Aristoteles, qui Grylli laudationem, & Epitaphia scripserint, innumerabiles fuisse tradit, quorum multos patri hoc gratificatos esse. Sed Hermippus in libro de Theophrasto, Socratem quoque Grylli laudationem scripsisse ait. Timon autem cavillatur

Imbecillaq; sermonum dualitas, aut trinitas, aut adhuc ulterius,
Qualis Xenophon aut Æschines contumax Scribere.

16. Talis ejus vita fuit. Floruit anno quarto, quartæ ac nonagesimæ Olympiadis. Cum Cyro profectus

βέβηκε σὺν Κύρῳ ἐπὶ ἄρχοντος Ξεναινέτου, ἑνὶ προτέρῳ ἔτει τῆς Σωκράτους τελευτῆς. κατέστρεψε δέ, (καθά φησι Στησικλείδης ὁ Ἀθηναῖος ἐν τῇ τῶν Ἀρχόντων, καὶ Ὀλυμπιονικῶν ἀναγραφῇ) ἔτει πρώτῳ τῆς πέμπτης καὶ ἑκατοστῆς Ὀλυμπιάδος, ἐπὶ ἄρχοντος Καλλιδημίου, ἐφ' οὗ καὶ Φίλιππος ὁ Ἀμύντου Μακεδὼν ἦρξε.

ιζʹ. Τέθνηκε δὲ ἐν Κορίνθῳ, ὥς φησι Δημήτριος ὁ Μάγνης, ἤδη δηλαδὴ γηραιὸς ἱκανῶς, ἀνὴρ τά τε ἄλλα γεγονὼς ἀγαθός, καὶ δὴ καὶ φίλιππος, καὶ φιλοκύνηγος, καὶ τακτικός, ὡς ἐκ τῶν συγγραμμάτων δῆλον. εὐσεβής τε καὶ φιλοθύτης, καὶ ἱερεῖα διαγνῶναι ἱκανός, καὶ Σωκράτη ζηλώσας ἀκριβῶς.

ιηʹ. Συνέγραψε δὲ βιβλία πρὸς τὰ τετταράκοντα, ἄλλων ἄλλως διαιρούντων· τήν τε ἀνάβασιν, ἧς κατὰ βιβλίον μὲν ἐποίησε προοίμιον, ὅλης δὲ οὔ· καὶ Κύρου παιδείαν, καὶ Ἑλληνικά, καὶ ἀπομνημονεύματα, συμπόσιόν τε καὶ οἰκονομικόν, καὶ περὶ ἱππικῆς, καὶ κυνηγετικόν, καὶ ἱππαρχικόν,

fectus est, Xenæneto Archonte, anno antequam Socrates mortem obiret. Mortuus est (ut Stesiclides ait Atheniensis in Archontum & Olympionicarum commentario) anno primo quintæ ac centesimæ Olympiadis, Archonte Callidemo, quo tempore Philippus quoque Amyntæ filius Macedo imperabat.

17. Mortuus est autem Corinthi (ut est apud Demetrium Magnetem) ætate videlicet confectus; vir cum alioquin bonus, tum equitandi venandique studiosus, & ordinum militarium peritus, quod ex ejus libris manifestum est. Præterea religiosus, & sacrificiis deditus, & ad dignoscendas hostias idoneus, quique Socratem perfecte imitatus est.

18. Libros ad quadraginta scripsit, quos aliter alii dividunt. Cyri profectionem, cujus in singulis libris procemium fecit, cum totius nullum fecisset; Cyri pædiam, Græcorum gesta, Memorabilia, Symposium, & Oeconomicum, de Equitandi arte, de Venatione, de Equitum præfecti munere,

χικόν, ἀπολογίαν τε Σωκράτους, καὶ περὶ πόρων, καὶ Ἱέρωνα ἢ τυραννικόν, Αγησίλαόν τε καὶ Αθηναίων καὶ Λακεδαιμονίων πολιτείαν, ἥν φησιν οὐκ εἶναι Ξενοφῶντος ὁ Μάγνης Δημήτριος.

ιθ'. Λέγεται δ' ὅτι καὶ τὰ Θουκυδίδου βιβλία λανθάνοντα ὑφελέσθαι δυνάμενος, αὐτὸς εἰς δόξαν ἤγαγεν. ἐκαλεῖτο δὲ καὶ Ατλικὴ μοῦσα, γλυκύτητι τῆς ἑρμηνείας. ὅθεν καὶ πρὸς ἀλλήλους ζηλοτύπως εἶχον αὐτός τε καὶ Πλάτων, ὡς ἐν τῷ περὶ Πλάτωνος λέξομεν.

κ'. Ἐστι δὲ εἰς τοῦτον ἡμῶν 'ἐπιγράμματα τοῦτον ἔχοντα τὸν τρόπον,

Οὐ μόνον ἐς Πέρσας ἀνέβη Ξενοφῶν διὰ Κῦρον,
Αλλ' ἄνοδον ζητῶν ἐς Διὸς ἥτις ἄγοι.
Παιδείη γὰρ ἑῆ Ελληνικὰ πράγματα δείξας,
Ως καλὸν ἡ Σοφίη μνήσατο Σωκράτεος.

κα'. Αλλο, ὡς ἐτελεύτα·

Εἰ καὶ σέ, Ξενοφῶν, Κραναοῦ Κέκροπός τε πολῖται
Φεύγειν κατέγνων τοῦ φίλου χάριν Κύρου,

Αλλὰ

munere, Socratis apologiam, de Reditibus, Hieronem ſive de Tyrannide, Ageſilaum, Athenienſium Lacedæmoniorumque Remp. quam Demetrius Magnes Xenophontis eſſe negat.

19. Dicitur quoque Thucydidis libros latentes, cum ſurripere poſſet, in honorem adduxiſſe. Vocatus eſt Attica muſa, propter dulcedinem orationis. Qua ex re cum ipſe, tum Plato, alter alteri obtrectaverunt; quemadmodum in Platone dicemus.

20. Sunt autem in hunc noſtra quoque Epigrammata hujuſmodi;

Haud ſolum ad Perſas aſcendit Xenophon propter Cyrum,
Sed reditum quæſivit in Jovis qui duceret.
Doctrinâ enim ſuâ Græca geſta oſtendens,
Ut honeſtum Sapientia meminit Socratis.

21. Et aliud quomodo mortuus eſt:

Quamvis & te, Xenophon, Cranai Cecropiſque cives
Exulare decreverunt, amici gratia Cyri;

At-

Ἀλλὰ Κόρινθος ἔδεκτο φιλόξενος, ᾗ σὺ φιληδῶν
Οὕτως ἀρέσκῃ, κεῖθι καὶ μένειν ἔγνως.

κβ'. Εὗρον δὲ ἀλλαχόθι ἀκμάσαι αὐτὸν περὶ τὴν ἐννάτην καὶ ὀγδοηκοστὴν Ὀλυμπιάδα, σὺν τοῖς ἄλλοις Σωκρατικοῖς. καὶ Ἴστρος φησὶν αὐτὸν φυγεῖν κατὰ ψήφισμα Εὐβούλου, καὶ κατελθεῖν κατὰ ψήφισμα τοῦ αὐτοῦ.

κγ'. Γεγόνασι δὲ Ξενοφῶντες ἑπτά. πρῶτος αὐτὸς οὗτος· δεύτερος, Ἀθηναῖος, ἀδελφὸς Νικοστράτου τοῦ τὴν Θησηΐδα πεποιηκότος, γεγραφὼς ἄλλα τε καὶ βίον Ἐπαμινώνδου καὶ Πελοπίδου. τρίτος, ἰατρὸς Κῷος· τέταρτος, ἱστορίαν Ἀννιβαϊκὴν γεγραφώς· πέμπτος, μυθώδη τερατείαν πεπραγματευμένος· ἕκτος, Πάριος ἀγαλματοποιός· ἕβδομος, κωμῳδίας ἀρχαίας ποιητής.

Attamen Corinthus suscepit hospitalis, quo tu gaudens
Sic delectaris, ibique manere decrevisti.

22. Sed ego apud alios reperi, eum nona atque octuagesima Olympiade, cum aliis Socraticis, floruisse. Istrus ait Ebuli psephismate ipsum in exilium pulsum, ejusdemque psephismate ab exilio revertisse.

23. Xenophontes autem extiterunt septem. Primus iste ipse. Alter Atheniensis, Nicostrati frater, ejus qui Theseidem fecit, qui cum alia multa, tum Epaminondæ quoque ac Pelopidis vitam conscripsit. Tertius medicus Cous. Quartus Hannibalis historiæ scriptor. Quintus, qui de fabulosis monstris egit. Sextus Parius signorum fictor. Septimus veteris comœdiæ Poëta.

ΕΚ ΤΟΥ ΑΥΤΟΥ
ἐν βίῳ Πλάτωνος.

Ἔοικε δὲ καὶ Ξενοφῶν πρὸς αὐτὸν ἔχειν οὐκ εὐμενῶς. ὥσπερ γοῦν διαφιλονεικοῦντες, τὰ ὅμοια γεγράφασι, Συμπόσιον, Σωκράτους ἀπολογίαν, τὰ Ἠθικὰ ἀπομνημονεύματα· εἶθ' ὁ μὲν πολιτείαν, ὁ δὲ Κύρου παιδείαν. καὶ ἐν τοῖς νόμοις ὁ Πλάτων πλάσμα φησὶν εἶναι τὴν παιδείαν αὐτοῦ· μὴ γὰρ εἶναι Κῦρον τοιοῦτον. ἀμφότεροί τε Σωκράτους μνημονεύοντες, ἀλλήλων οὐδαμοῦ, πλὴν Ξενοφῶν Πλάτωνος ἐν τρίτῳ τῶν ἀπομνημονευμάτων.

ΞΕΝΟΦΩΝΤΟΣ ΒΙΟΣ
ἐκ τοῦ Σουΐδα.

Ξενοφῶν Γρύλλου, Ἀθηναῖος, φιλόσοφος Σωκρατικός, ὃς πρῶτος ἔγραψε βίους φιλοσόφων, καὶ ἀπομνη-

Ex Eodem *in Vita Platonis.*

VIdetur autem Xenophon quoque in eum animo non optimo fuisse. Quocirca tanquam æmuli, ita similia ambo scripserunt, Sympoſium, Socratis apologiam, Moralia commentaria; atque is quidem politiam, ille vero Cyri pædiam. Atque etiam in legibus Plato ejus pædiam commentitiam esse ait: neque enim Cyrum talem fuisse. Uterque autem de Socrate memorantes, alter de altero mentionem nullam fecit, nisi quod Xenophon in tertio Memorabilium, de Platone.

Xenophontis Vita *ex Suida.*

XEnophon, Grylli filius, Atheniensis, Philoſophus Socraticus, qui primus ſcripſit vitas Philoſophorum, & Memorabilia.

ἀπομνημονεύματα. παῖδας ἔσχεν ἀπὸ Φιλησίας, Γρύλλον καὶ Διόδωρον, οἳ καὶ Διόσκουροι ἐκαλοῦντο. αὐτὸς δὲ Ἀττικὴ μέλιττα ἐπωνομάζετο. γέγονε δὲ συμφοιτητὴς Πλάτωνος, καὶ ἤκμαζε κατὰ τὴν ἐνενηκοστὴν ὀγδόην Ὀλυμπιάδα. ἔγραψε βιβλία πλείονα τῶν μ', ὧν καὶ ταῦτα, Κύρου παιδείας βιβλία η', Κύρου ἀναβάσεως βιβλία ζ', Ἑλληνικῶν βιλία ζ', Συμπόσιον, καὶ ἄλλα πολλά.

ΧΙΩΝΟΣ, ΩΣ ΕΣΩΘΗ
ΤΟ ΒΥΖΑΝΤΙΟΝ ΥΠΟ ΞΕΝΟΦΩΝΤΟΣ.

ΧΙΩΝ ΜΗΤΡΙΔΙ
Ὑγιαίνειν.

ΠΟΛΛΗΝ χάριν οἶδα τοῖς ἐπισχοῦσιν ἡμᾶς ἀνέμοις, καὶ τὴν ἐν Βυζαντίῳ διατριβὴν βιασαμένοις. καίτοι τὸ πρῶτον ἠχθόμην αὐτοῖς ἐπειγόμενος. ἀλλὰ γὰρ ἀξία πρόφασις καὶ χρονιωτέρας μονῆς ἐφάνη Ξενοφῶν, Σωκράτους γνώριμος.

β'. Οὐ-

bilia. Filios ſuſcepit è Phileſia Gryllum & Diodorum, qui & Dioſcuri vocabantur. Ipſe autem appellabatur apes Attica. Erat condiſcipulus Platonis, floruitque octava & nonageſima Olympiade. Scripſit libros plures quam quadraginta, è quibus ſunt & iſti, Cyri pædias libri octo, Cyri expeditionis libri ſeptem, Hellenicorum libri ſeptem, Sympoſium, aliaque multa.

CHIONIS, DE CONSERVATO
A XENOPHONTE BYZANTIO.

CHIO MATRIDI S. D.

MAGNAM ventis gratiam habeo, qui nos detinuerunt, ac vi quadam Byzantii commorari coëgerunt. Equidem initio ſuccenſebam eis, quum valde properarem: ſed ob Xenophontem, Socratis familiarem, operæpretium erat iſtic etiam diutius hærere.

2. Nam

β'. Οὗτος γὰρ ὁ Ξενοφῶν εἷς τῶν ἐπ' Ἀρταξέρξην στρατευσαμένων Ἑλλήνων, Κύρῳ δὲ συμμάχων ἦν. καὶ τὸ μὲν πρῶτον μετά τινος τῶν στρατηγῶν ἦν, οὐδὲν πολυπραγμονῶν ὅ,τι μὴ στρατιώτην ἐχρῆν, ὥσπερ εἷς ὢν τῶν Κύρῳ τιμίων.

γ'. Ὡς δὲ Κῦρός τε ἀπέθανεν ἐν τῇ πρώτῃ μάχῃ, καὶ οἱ στρατηγοὶ τῶν Ἑλλήνων παρασπονδηθέντες ἀπετμήθησαν τὰς κεφαλὰς, ᾑρέθη στρατηγὸς ἀνδρείας τε ἕνεκα, καὶ τῆς ἄλλης σοφίας, δοκῶν ἄριστα ἂν διαπράξασθαι τὴν σωτηρίαν τοῖς Ἕλλησι.

δ'. Καὶ οὐκ ἔψευσεν αὐτοὺς τῆς ἐλπίδος, ἀλλὰ διὰ μέσης πολεμίας γῆς, ὀλίγην στρατιὰν ἄγων περιεσώσατο, ἑκάστης ἡμέρας τοῖς βασιλέως στρατηγοῖς παραστρατοπεδευόμενος.

ε'. Θαυμαστὰ μὲν οὖν καὶ ταῦτα· πολὺ δὲ τούτων θαυμασιώτερόν τε καὶ μεῖζον, ὅπερ αὐτὸς ἐγὼ νῦν ἐθεασάμην. πεπονημένοι γὰρ οἱ Ἕλληνες πολυχρονίῳ καὶ χαλεπῇ στρατείᾳ, καὶ μηδὲν

2. Nam is Xenophon unus ex iis Græcis eſt, qui expeditionem adverſus Artaxerxem ſuſceperunt, ſocietate belli cum Cyro inita. Et erat initio quendam apud ducem, nec curioſe quidquam agebat, niſi quod deceret militem : adeoque unus erat ex eorum numero, quos Cyrus habebat in pretio.

3. Verum poſteaquam primo prœlio Cyrus occubuit, & violatis induciis, Græcorum imperatoribus abſciſſa fuere capita : cum ob fortitudinem tum ſapientiam, qua cæteroqui valebat, imperator creatus eſt ; quod exiſtimaretur egregie ſaluti Græcorum conſulturus.

4. Atque hæc ſpes eos haudquaquam fefellit. Nam per medios hoſtes, exiguas, quas ducebat, copias incolumes ſervavit ; quum quidem diebus ſingulis caſtra non procul à ducibus regiis haberet.

5. Sunt hæc quidem admiratione digna, ſed illud multo admirabilius & majus, cujus ipſe nunc ſpectator fui. Nam Græci diuturnæ ac difficilis militiæ laboribus confecti, quum nullum pro

δὲν ἄλλο εὑρημένοι τῶν κινδύνων ἆθλον, πλὴν τῆς σωτηρίας, δεξαμένων αὐτοὺς κατὰ φόβον τῶν Βυζαντίων, ἔγνωσαν διαρπάσαι τὴν πόλιν· καὶ πολὺς τάραχος αἰφνιδίως κατέσχε τοὺς Βυζαντίους.

ϛ΄. Ἐπεὶ δὲ ὡπλίζοντό τε οἱ ξένοι καὶ ὁ σαλπιγκτὴς ἐσήμαινεν, ἐγὼ μὲν ἀσπίδα καὶ λόγχην ἁρπάσας, ἔδραμον ἐπὶ τὸ τεῖχος, οὗ τῶν ἐφήβων τινὰς συνεστηκότας ἑώρων· ἦν δὲ ἡ φυλακὴ τῶν τειχῶν οὐδὲν ὠφέλιμος, πολεμίων κατεχόντων τὴν πόλιν. ἀλλ' ὅμως ῥᾷον ἐνομίζομεν ἀμύνεσθαι πλεονεκτοῦντες τῷ τόπῳ, ἢ ἀπολέσθαι γε βραδύτερον.

ζ΄. Κἀν τούτῳ ταραττομένων τῶν Ἑλλήνων, ἑωρῶμεν κομήτην ἄνδρα, καλὸν πάνυ καὶ πρᾶον ἰδέσθαι, διεξιόντα μὲν δι' αὐτῶν, καὶ παύοντα τῆς ὁρμῆς ἕκαστον. οὗτος δὲ ἦν ὁ Ξενοφῶν.

η΄. Ὡς δὲ ἐκ τῶν ἐναντίων παρεκάλουν αὐτὸν οἱ στρατιῶται, ἕνα ὄντα πολλοῖς πείθεσθαι, καὶ ἀναπαῦσαι ποτὲ

αὐτοὺς

pro aditis periculis præmium retulissent, præter corporum incolumitatem; à Byzantiis præ formidine admissi, urbem populari statuerunt; eoque factum, ut magnæ Byzantiis turbæ subito exorirentur.

6. Quumque jam milites externi arma caperent, ac tubicen classicum caneret: equidem scuto hastaque correpta currebam ad muros, quo loco juvenum quendam globum coiisse videbam. Verum mœnia præsidio munire nullam ad rem proderat, quod jam urbem hostes occupassent. Nihilominus existimabamus defensionem nobis faciliorem fore, si loci commoditate superiores essemus; aut saltem perituros nos aliquanto tardius.

7. Interim quum magnæ inter Græcos essent turbæ, cernebamus hominem cæsarie prolixa, pulchro ac miti adspectu, per medios incedentem milites, ac singulorum impetus reprimentem: qui quidem erat is de quo loquor, Xenophon.

8. Quum vero illi eum ex adverso cohortarentur, ut unus multis pareret, ac tandem aliquando

ærumno-

αὐτοὺς τῆς ταλαιπώρου καὶ χαλεπῆς ζάλης· ἀνάγετε οὖν ἐπὶ πόδα, ἔφη, καὶ βουλεύσασθε. οὐ γὰρ δέος, μὴ διαφύγῃ βουλευομένους τὸ πρᾶγμα ἐφ' ἡμῖν κείμενον.

θʹ. Ὡς δὲ τοῦτό γε αὐτῷ ἀπειθεῖν ᾐδέσθησαν, εἰς μέσον καταστὰς ὁ Ξενοφῶν, θαυμαστοὺς λόγους διέθετο, ὡς τὸ τέλος αὐτὸ ἐδήλωσεν. οὐ γὰρ ἡμῖν γε σαφῶς ἐξηκούοντο.

ιʹ. Τοὺς γοῦν περὶ μικροῦ διαρπάζειν ἐγνωκότας τὴν πόλιν, μετρίους κατὰ τὴν ἀγορὰν ἑωρῶμεν ὠνουμένους τὰ ἐπιτήδεια, ὡς τῶν ἄλλων Βυζαντίων ἕκαστος, καὶ μηδὲν ἔτι ἐκείνου τοῦ ἀδίκου καὶ ἁρπακτοῦ Ἄρεως πνέοντας. αὕτη δὲ ἡ ὄψις, ἐπίδειξις ἦν τῆς Ξενοφῶντος ψυχῆς, ὅπως καὶ φρονεῖν καὶ λέγειν ἠδύνατο.

ιαʹ. Οὐ μὴν ἔγωγε ἡσυχίᾳ τὸν ἄνδρα παρελθεῖν ὑπέμεινα, καὶ ταῦτα ὁμοίως Βυζαντίοις εὖ πεπονθὼς ὑπ' αὐτοῦ· ἐπεὶ διὰ τοὺς ἀνέμους καὶ αὐτὸς εἷς ἦν

τῶν

ærumnosæ difficilique tempestati finem imponeret: Pedem igitur referte, ac de re consultate. Non enim metuendum est, ne res in potestate nostra sita, dum consultabimus, nobis elabatur.

9. Ubi, quo minus in hoc ei parerent, verecundia præpediebantur; stans eorum in medio Xenophon, admirabilem orationem habuit, quemadmodum finis ipse declaravit. Nam à nobis exaudiri ea clare non poterat.

10. Enimvero cernebamus, eos, qui paulo ante urbem diripere decreverant, modeste commeatum in foro non aliter ac reliquorum Byzantiorum quemlibet, emere: neque jam amplius ulla ex parte injustum illum rapacemque Martem spirare. Atque hoc spectaculum, animi Xenophontis indicium erat; quantum ille tum prudentia tum orationis vi valeret.

11. Equidem ferre non poteram, ut is vir non compellatus me præteriret; præsertim quum eodem me, quo Byzantios, beneficio adfecisset. Nam & ipse unus ex iis eram, quem ventis ibi detentum

τῶν διαρπασθησομένων. ἀλλ' ἐγνώρισα αὐτῷ ἐμαυτόν.

ιβ'. Ὁ δὲ καὶ τῆς σῆς πρὸς Σωκράτη φιλίας ἀνεμιμνήσκετο, κἀμὲ φιλοσοφεῖν παρείσατο· καὶ τἄλλα οὐ στρατιωτικῶς, μὰ Δία, ἀλλὰ καὶ πάνυ φιλανθρώπως διελέγετο.

ιγ'. Νῦν δὲ εἰς Θρᾴκην ἄγει τὸ στράτευμα. Σεύθης γὰρ ὁ τῶν Θρᾳκῶν βασιλεὺς πρός τινας ὁμόρους πολεμῶν, μετεπέμψατο, ἐντελῆ μισθὸν αὐτοῖς ὑπισχνούμενος. Οἱ δὲ ὑπήκουσαν. οὐ γὰρ ἄποροι διαλυθῆναι βούλονται, ἀλλὰ καὶ κτήσασθαί τι ἐκ τῶν πόνων, ἕως γ' ἔτι στρατεύματά εἰσιν.

ιδ'. Ἴσθι δὲ πολύ με ἤδη προθυμότερον ἐς Ἀθήνας πλευσεῖσθαι φιλοσοφήσοντα. μέμνησαι γὰρ δήπου, ὅτι προτρέπων με συνεχῶς ἐπὶ φιλοσοφίαν, καὶ θαυμαστὰ διεξιὼν περὶ τῶν καθ' ὁποιοῦν σπουδασάντων περὶ αὐτὴν μέρος, τἄλλα μὲν εἶχες πειθόμενον, ἐκεῖνο δὴ καὶ πάνυ φοβούμενον.

ιε'. Ἐδόκει γάρ μοι τὰ μὲν λοιπὰ ὄντως σπουδαιοτέ-

ροις

tentum ſpoliari contigiſſet. Itaque cognoſcendum ei me præbui.

12. Tum ille amicitiæ, quæ tibi cum Socrate fuiſſet, reminiſci; meque ad philoſophandum cohortari, ac de rebus etiam aliis non profecto militariter, ſed humaniter admodum mecum colloqui.

13. Nunc copias in Thraciam ducit. Nam Thracum rex Seuthes, qui bellum adverſus finitimos quoſdam gerit, arceſſivit eos; ſeque ſtipendium Græcis & amplum & integrum numeraturum recepit. Parent in hoc illi, quod dimitti nolint inopes, ſed laboribus ſuis aliquid comparare, donec adhuc conjunctæ ſunt ipſorum copiæ.

14. Cæterum ſcito me jam multo lubentius Athenas ad philoſophandum navigaturum. Nam meminiſti, quoties me ad philoſophiam impelleres, & admirabilia quædam commemorares de iis qui ullam in ejus partem incubuiſſent; in aliis me facile tibi adſenſum fuiſſe, tantum hoc vehementer veritum eſſe.

15. Arbitrabar enim augeri virtutes alias in hominibus à philoſophia,

ροις ποιεῖν ὅσων ἐφάψαιντο· (καὶ γὰρ τὸ σῶφρον καὶ τὸ δίκαιον οὐκ ἄλλοθεν ἀρύεσθαι τοὺς ἀνθρώποις ἢ φιλοσοφίας ᾤμην·) τὸ δὲ πρακτικὸν καὶ σφοδρὸν διαλύειν τῆς ψυχῆς, καὶ μαλθάσσειν ἐπὶ τὸ ἥσυχον. ἀπραγμοσύνη γὰρ ἦν, καὶ ἠρεμία, τὰ θαυμαστὰ, ὥς μοι ἔλεγες, ἐγκώμια φιλοσόφων.

ιϛ'. Δεινὸν οὖν μοι κατεφαίνετο, εἰ φιλοσοφήσας τἄλλα μὲν ἀμείνων ἔσομαι, θαῤῥαλέος δὲ οὐκ ἔτι, οὔτε στρατιώτης εἶναι δυνήσομαι, οὔτε ἀριστεὺς, εἰ δέοι· ἀλλὰ μεθήσω πάντα ταῦτα, ὥσπερ ἐπιλήσμονι τινὶ ἐπῳδῇ παντὸς ἔργου λαμπροτέρου κηληθεὶς τῇ φιλοσοφίᾳ.

ιζ'. Ἠγνόουν δ' ἄρα, ὅτι καὶ πρὸς ἀνδρείαν εἰσὶν ἀμείνους οἱ φιλοσοφήσαντες. καὶ μόλις γε αὐτὸ παρὰ Ξενοφῶντος ἔμαθον, οὐκ ἐπειδὴ διελέχθη μοι περὶ αὐτοῦ, ἀλλ' ἐπεὶ τοιοῦτος ὢν ἐφάνη, ὁποῖός ἐστι. μάλιστα γὰρ δὴ μεταλαβὼν τῶν Σωκράτους λόγων,

sophia, quæcunque tandem illi suſciperent. Quippe modeſtiam & juſtitiam non aliunde quam ex philoſophia, haurire homines exiſtimabant: verum agendi vim, ac impetum animi, remiſſiorem reddi, ac ad tranquilitatem quandam emolliri. Nam philoſophorum admirabiles laudes in tranquillitate mihi conſiſtere dicebas, & in eo quod nullis negotiis impliciti eſſet.

16. Itaque graviter mihi ferendum videbatur, ſi philoſophia percepta, cæteris in rebus melior evaderem; at neq; magnanimus, neq; miles amplius eſſe poſſem, nec (ſi res ita poſceret) præclari alicujus facti auctor: Immo quod valedicendum mihi eſſet his omnibus, delenito à philoſophia; quæ incantationis inſtar mihi omnis inſignis facinoris oblivionē induceret.

17. Nimirum ignorabam, eos qui exculti eſſent à philoſophia, etiam ad fortitudinem melius eſſe comparatos. Atque hoc vix à Xenophonte didici, non quod ea de re mecum ſermonem habuerit; ſed quod talem ſe declaraverit, qualis eſt. Nam quum Socratem diligentiſſime

γων, ἀρκεῖ στρατεύματα καὶ πόλεις σώζειν, καὶ οὐδὲν αὐτὸν ἐποίησε φιλοσοφία αὐτῷ τε καὶ τοῖς φίλοις ἀχρειότερον.

ιη'. Ἡσυχία μὲν οὖν ποιητικωτέρα τάχα εὐδαιμονίας· ἤδη μέν τοι καὶ πράξει καλῶς ἕκαστα, ὁ καλῶς ἠρεμεῖν δυνάμενος. ἐπεὶ καὶ μείζων ἂν εἴη τοῦ πολεμοῦντος, ὁ πλεονεξίαν, καὶ ἐπιθυμίαν, καὶ τἄλλα πάθη χειρούμενος, ὧν καὶ οἱ νικῶντες τοὺς πολεμίους ἥττωνται.

ιθ'. Κἀγὼ οὖν ἐλπίζω φιλοσοφήσας, τά τε ἄλλα κρείττων ἔσεσθαι, καὶ οὐδὲν ἧττον ἀνδρεῖος, ἀλλ' ἧττον θρασύς. ταῦτα μὲν οὖν οὐ τοῦ ἱκανοῦ μόνον, ἀλλὰ καὶ τοῦ πάνυ πέρα. γίγνωσκε δέ με ἤδη πρὸς τὸ πλεῖν ὄντα. καὶ γὰρ δὴ γέγονε καὶ τὰ τῶν ἀνέμων αἰσιώτερα.

Ex.

tiſſime audierit, tamen & exercitus & urbes ſervare poteſt, nulla re factus à Philoſophia minus ad commodandum ſibi & amicis idoneus.

18. Quamobrem vita quieta, eſt illa quidem magis ad parandam felicitatem efficax; ita tamen, ut præclare faciat is omnia, qui vitam colere quietam poſſit. Etenim majorem illum eſſe neceſſe eſt, qui avaritiam, cupiditatem, & paſſiones cæteras vincit, quam qui bellicis rebus occupatur: quum iis etiam illi ſuccumbant, qui victoria de hoſtibus potiuntur.

19. Itaque percepta philoſophia, ſpero me cum ad alias res meliorem fore, tum nihilominus fortem, utut minus audax ero. Verum ſatis hac de re ſuperque dictum. Scito autem me jam ad navigationem accingi, quod & venti magis ſecundi ſint.

E Pau.

TESTIMONIA

Ἐκ τοῦ Παυσανίου, Ηλιακῶν α΄.

Λακεδαιμόνιοι δὲ ὕστερον Σκιλλοῦντα ἀποτεμόμενοι τοὺς Ηλείας, Ξενοφῶντι ἔδοσαν τῷ Γρύλλου φυγάδι ἤδη γεγονότι ἐξ Αθηνῶν. ἐδιώχθη δὲ ὁ Ξενοφῶν ὑπὸ Αθηναίων, ὡς ἐπὶ βασιλέα τῶν Περσῶν σφίσιν εὔνουν ὄντα στρατείας μεταλαβὼν Κύρῳ πολεμιωτάτῳ τοῦ δήμου. καθήμενος γὰρ ἐν Σάρδεσιν ὁ Κῦρος, Λυσάνδρῳ τῷ Αριστοκρίτους καὶ Λακεδαιμονίοις χρήματα ἀνήλισκεν ἐς τὰς ναῦς. ἀντὶ τούτων μὲν Ξενοφῶντι ἐγένετο φυγή. κατοικήσας δὲ ἐν Σκιλλοῦντι, τέμενός τε καὶ ἱερὸν καὶ ναὸν Αρτέμιδι ᾠκοδομήσατο Εφεσίᾳ. παρέχεται δὲ ὁ Σκιλλοῦς καὶ ἄγρας θηρίων, ὑῶν τε ἀγρίων καὶ ἐλάφων. καὶ διὰ τὴν γῆν τὴν Σκιλλουντίαν Σελινοῦς ποταμὸς διέξεισιν. οἱ δὲ Ηλείων ἐξηγηταὶ κομίσασθαί τε αὖθις Σκιλλοῦντα Ηλείους ἔλεγον, καὶ Ξενοφῶντα, ὅτι ἔλαβε παρὰ Λακεδαιμονίων τὴν γῆν,

E Pauſania, Eliacorum l. 1.

SEd ereptam Eleis Scilluntem Lacedæmonii poſt Xenophonti Gyrilli filio tunc Athenis exulanti donarunt. Exagitatus vero eſt Xenophon à ſuis civibus, quod Cyro, qui fuit Athenienſi populo inimiciſſimus, contra Perſarum regem, quo maxime benevolo utebantur, ſtipendia feciſſet. Cum enim Sardibus eſſet Cyrus, Lyſandrum Ariſtocriti filium & Lacedæmonios ad comparandam [contra Athen.] claſſe pecunia juverat. Hæc Xenophonti exilii cauſa fuit. Conſtituto autem ad Scilluntem domicilio, agri partem Epheſiæ Dianæ, & fanum dedicavit. Abundat Scillus omnibus ferarum generibus ad venationem, apris inprimis & cervis. Agrum perlabitur Scilluntium Selinus amnis. Ex Eleis autem ii quibus curæ eſt antiquitatis memoriam conſervare, receptam à ſuis Scilluntem memorant: & Xenophontem, quod illam à Lacedæmoniis accepiſſet, in

γῶν, κριθῆναι μὲν ἐν τῇ Ὀλυμπιακῇ βουλῇ, τυχόντα δὲ παρὰ Ἠλείων συγγνώμης, ἀδεῶς ἐν Σκιλλοῦντι οἰκῆσαι. καὶ δὴ καὶ ὀλίγον ἀπωτέρω ἱεροῦ, μνῆμά τε ἐδείκνυτο, καὶ τοῦ Πεντελησίν ἐστι λιθοτομίας εἰκὼν ἐπὶ τῷ τάφῳ, εἶναι δὲ αὐτὸ Ξενοφῶντος λέγουσιν οἱ προσοικοῦντες.

Ἀθηναίου Δειπνοσοφ. βιβλ. ι΄.

Ξενοφῶν ὁ Γρύλλου παρὰ Διονυσίῳ ποτὲ τῷ Σικελιώτῃ, πίνειν ἀναγκάζοντος τοῦ οἰνοχόου, προσαγορεύσας ὀνόματι τὸν τύραννον, Τί δέ, (ἔφη) ὦ Διονύσιε, οὐχὶ καὶ ὀψοποιὸς ἀγαθὸς ὢν καὶ ποικίλος, ἀναγκάζει ἡμᾶς εὐωχουμένους ἐσθίειν καὶ μὴ βουλομένους; ἀλλὰ κοσμίως ἡμῖν παρατίθησι τὴν τράπεζαν σιγῶν.

Ex

in Olympico consilio causam dixisse, eundemque ab Eleis absolutum, Scillunte impune domicilium habuisse. Et sane non longe à Dianio monumentum monstratur cum statua à Pentelico marmore, quam Xenophontis esse accolæ dicunt.

Athenæi Deipnosoph. lib. 10.

Xenophon Grylli filius, cum apud Dionysium Siculum ad bibendum pocillator eum cogeret, nominatim affatus tyrannum, Cur non, inquit, Dionysie, & obsonator tuus, probus quidem & varius, epulantes nos ad edendum invitos cogit? contra, modestus & tacitus mensam apponit.

Ἐκ τοῦ αὐτοῦ. βιβλ. ια'.

ΕΙΣ ταῦτά τις ἀποβλέπων τὰ τοῦ καλοῦ Ξενοφῶντος, ἐπιγνώσκειν δυνήσεται, ἣν εἶχε πρὸς αὐτὸν ὁ λαμπρότατος Πλάτων ζηλοτυπίαν. ἢ τάχα φιλονείκως εἶχον ἀρχῆθεν πρὸς ἑαυτοὺς οἱ ἄνδρες οὗτοι, αἰσθόμενοι τῆς ἰδίας ἑκάτερος ἀρετῆς· καὶ ἴσως καὶ περὶ πρωτείων διεφέροντο, οὐ μόνον ἐξ ὧν περὶ Κύρου εἰρήκασι τεκμαιρομένοις ἡμῖν, ἀλλὰ κἀκ τῶν αὐτῶν ὑποθέσεων.

β'. Συμπόσια μὲν γὰρ γεγράφασιν ἀμφότεροι, καὶ ἐν αὐτοῖς ὁ μὲν τὰς αὐλητρίδας ἐκβάλλει, ὁ δὲ εἰσάγει· καὶ ὁ μὲν (ὡς πρόκειται) παραιτεῖται μὴ πίνειν μεγάλοις ποτηρίοις, ὁ δὲ τὸν Σωκράτην παράγει τῷ ψυκτῆρι πίνοντα μέχρι τῆς ἕω. Κἀν τῷ περὶ ψυχῆς δὲ ὁ Πλάτων καταλεγόμενος ἕκαστον τῶν παρατυχόντων, οὐδὲ κατὰ μικρὸν τοῦ Ξενοφῶντος μέμνηται.

γ'. Καὶ

Ex eodem. lib. 11.

HÆc festivi Xenophontis verba si nos intuebimur, licebit intelligere, splendidissimum Platonem æmulum ejus non immerito fuisse, vel potius tantos fortassis viros inter se principio contendisse, suæ utrumque virtutis conscium, ac forsitan etiam certavisse, primas uter partes obtineret, non solum id nobis conjectantibus ex iis quæ de Cyro ambo memoriæ prodiderunt, verum etiam ex eodem operum suorum argumento.

2. Nam convivia uterque scripsit, & in ipsis tibicinas hic rejicit, ille admittit: hic (quod antea nos indicavimus) ne magnis poculis bibant hortatur convivas: ille vero Socratem inducit ad auroram usque bibentem psyctere. Præterea libro suo de animo, Plato eos qui adfuerunt omnes sigillatim commemorans, ne verbum quidem fecit de Xenophonte.

3. De

γʹ. Καὶ περὶ τοῦ Κύρου οὗτος ὁ μὲν λέγει, ὡς ἐκ πρώτης ἡλικίας ἐπεπαίδευτο πάντα τὰ πάτρια· ὁ δὲ Πλάτων, ὥσπερ ἐναντιούμενος, ἐν τρίτῳ Νόμων φησί· Μαντεύομαι δὲ περὶ Κύρου τὰ μὲν ἄλλα στρατηγὸν αὐτὸν ἀγαθὸν εἶναι καὶ φιλόπολιν, παιδείας δὲ ὀρθῆς οὐδὲ ἧφθαι τὸ παράπαν· οἰκονομίᾳ δ' οὐδὲ τὸν νοῦν προσεσχηκέναι· ἔοικε δ' ἐκ νέου στρατεύεσθαι, παραδοὺς τε τοὺς παῖδας ταῖς γυναιξὶ τρέφειν.

δʹ. Πάλιν ὁ μὲν Ξενοφῶν συναναβὰς Κύρῳ εἰς Πέρσας μετὰ τῶν μυρίων Ἑλλήνων, καὶ ἀκριβῶς εἰδὼς τὴν προδοσίαν τοῦ Θεσσαλοῦ Μένωνος, ὅτι αὐτὸς αἴτιος ἐγένετο τοῖς περὶ Κλέαρχον τῆς ἀπωλείας τῆς ὑπὸ Τισσαφέρνους γενομένης, καὶ οἷός τις ἦν τὸν τρόπον, ὡς χαλεπός, ὡς ἀσελγής, διηγησάμενος· ὁ καλὸς Πλάτων, μονονουχὶ εἰπὼν οὐκ ἔστ' ἔτυμος λόγος οὗτος, ἐγκώμια αὐτοῦ διεξέρχεται.

Ex

3. De Cyro Xenophon tradit, à teneris annis patriis omnibus institutis educatum & assuefactum fuisse: contra Plato refragatur, & libro tertio de legibus sic ait, Ego equidem de Cyro id suspicor, & auguror, strenuum imperatorem eximiumque fuisse, ac vitæ civilis studiosum, sed rectam institutionem nunquam omnino attigisse, nec unquam de rerum domesticarum administratione cogitasse, ut qui militasse, exercitusque duxisse videatur mox ab adolescentia, & fœminis liberos educandos suos commiserit.

4. Rursum Xenophon cum Græcorum decem millibus adversus Persas Cyrum comitatus, probe scivit Menonis Thessali proditionem, & quod ejus consilio Clearchum Tissaphernes occidit, tum etiam quam insolens ac durum esset hominis ingenium: elegans tamen Plato, cum eam rem exponit, id duntaxat præfatus mendacem esse Xenophontis orationem, laudes Menonis prosequitur.

 E Lu-

Ἐκ τοῦ Λουκιανοῦ ἐν λόγῳ ἐπιγεγραμμένῳ,
Πῶς δεῖ ἱστορίαν συγγράφειν.

Τοῦ δὲ συγγραφέως ἔργον ἕν, ὡς ἐπράχθη εἰπεῖν. τοῦτο δ' οὐκ ἂν δύναιτο, ἄχρις ἂν ἢ φοβῆται Ἀρταξέρξην ἰατρὸς αὐτοῦ ὤν, ἢ ἐλπίζει κάνδυν πορφυροῦν, καὶ στρεπτὸν χρυσοῦν, καὶ ἵππον τῶν Νισαίων λήψεσθαι μισθὸν τῶν ἐν τῇ γραφῇ ἐπαίνων. ἀλλ' οὐ Ξενοφῶν αὐτὸ ποιήσει, δίκαιος συγγραφεύς, οὐδὲ Θουκυδίδης· ἀλλὰ κἂν ἰδίᾳ μισῇ τινας, πολὺ ἀναγκαιότερον ἡγήσεται τὸ κοινόν, καὶ τὴν ἀλήθειαν περὶ πλείονος ποιήσεται τῆς ἔχθρας· κἂν φιλῇ, ὅμως οὐκ ἀφέξεται ἁμαρτάνοντος.

Ἐκ τοῦ Λουκιανοῦ περὶ τῶν Μακροβίων.

Ξενοφῶν δὲ ὁ Γρύλλου ὑπὲρ τὰ ἐνενήκοντα ἐβίωσεν ἔτη.

Διο-

E Luciano in tractatu qui inscribitur,
Quomodo Historia conscribenda sit.

Historici opus unum est, ut quæque perinde ac facta sunt, exponat. Hoc autem facere non poterit, donec vel Artaxerxem metuerit, medicus ipsius existens, vel sperat candyn purpureum, & torquem aureum, & equum ex Nisæis illis aliquem se accepturum esse, mercedem videlicet laudum earum quas scriptis inseruisset. At neque Xenophon illud faciet, justus scriptor, (neque Thucydides,) sed sive privatim oderit quosdam, multo magis necessarium putabit esse id quod publicum est; veritatemque pluris faciet, quam inimicitiam: sive etiam amaverit, tamen non parcet illi, quisquis peccaverit.

E Luciano de Longævis.

Xenophon Grylli filius vixit ultra nonaginta annos.

Dio-

Διονυσίου Ἁλικαρνασσέως ἐπιστολὴ πρὸς Γν. Πομπήϊον.

Ξενοφῶν μὲν, Ἡροδότου ζηλωτὴς ἐγένετο, κατ' ἀμφοτέρους τοὺς χαρακτῆρας, τόν τε πραγματικὸν καὶ τὸν λεκτικόν. πρῶτον μὲν γὰρ ὑποθέσεις τῶν ἱστοριῶν ἐξελέξατο καλὰς καὶ μεγαλοπρεπεῖς καὶ ἀνδρὶ φιλοσόφῳ προσηκούσας· τήν τε Κύρου παιδείαν, εἰκόνα βασιλέως ἀγαθοῦ καὶ εὐδαίμονος· καὶ τὴν ἀνάβασιν τοῦ νεωτέρου Κύρου (ᾧ καὶ αὐτὸς συνανέβη) μέγιστον ἐγκώμιον ἔχουσαν τῶν συστρατευσαμένων Ἑλλήνων· καὶ τρίτην ἔτι τὴν Ἑλληνικὴν, καὶ ἣν κατέλιπεν ἀτελῆ Θουκυδίδης· ἐν ᾗ καταλύονταί τε οἱ τριάκοντα, καὶ τὰ τείχη τῶν Ἀθηναίων, ἃ Λεκαδαιμόνιοι καθεῖλον, αὖθις ἀνίστανται.

β'. Οὐ μόνον δὲ τῶν ὑποθέσεων χάριν ἄξιος ἐπαινεῖσθαι, ζηλωτὴς Ἡροδότου γενόμενος, ἀλλὰ καὶ τῆς οἰκονομίας. ταῖς τε

Dionysii Halicarnassei Epist. ad Cn. Pompeium.

XEnophon Herodotum in utroque genere, tum in eo quod in materia cernitur, tum quod in elocutione, imitatur. Nam in primis materiam suæ historiæ elegit pulchram & magnificam, ac eam quæ virum sapientiæ studiosum decet; ut Institutionem Cyri boni atque felicis regis effigiem; ac etiam Expeditionem, minoris natu Cyri, (cui ipse interfuit,) quæ maximam commendationem continet eorum Græcorum qui simul cum eo militabant; præterea etiam tertium opus, Græcarum historiarum, quod inchoatum & imperfectum reliquit Thucydides: in quo imperium triginta virorum dissolvitur, & mœnia Atheniensium, quæ Lacedæmonii sustulerant, atque funditus everterant, rursus instaurantur.

2. Non solum vero ob materiam in cœlum ferendus est, (in qua Herodotum sequitur,) sed etiam propter dispositionem suspiciendus. Nam & principiis earum

τε γὰρ ἀρχαῖς αὐτῶν τὰς πρεπωδεστάτας κέχρηται, καὶ τελευτὰς ἑκάστῃ τὰς ἐπιτηδειοτάτας ἀποδέδωκε. μεμέρικέ τε καλῶς καὶ τέταχε καὶ πεποίκιλκε τὴν γραφήν. ἦθός τε ἐπιδείκνυται θεοσεβὲς καὶ δίκαιον καὶ καρτερικὸν καὶ εὐπετὲς, ἁπάσαις τε συλλήβδην κεκοσμημένον ἀρεταῖς.

γ'. Καὶ ὁ μὲν πραγματικὸς τόπος αὐτοῦ τοιοῦτος. ὁ δὲ λεκτικὸς, πῇ μὲν ὅμοιος Ἡροδότου, πῇ δὲ ἐνδεέστερος. καθαρὸς μὲν γὰρ τοῖς ὀνόμασιν ἱκανῶς, καὶ σαφὴς, καθάπερ ἐκεῖνος. ἐκλέγει δὲ ὀνόματα συνήθη τε καὶ προσφυῆ τοῖς πράγμασι, καὶ συντίθησιν αὐτὰ ἡδέως πάνυ καὶ κεχαρισμένως, οὐχ ἧττον Ἡροδότου.

δ'. Ὕψος δὲ καὶ κάλλος καὶ μεγαλοπρέπειαν, καὶ τὸ λεγόμενον ἰδίως πλάσμα ἱστορικὸν Ἡρόδοτος ἔχει. οὐ γὰρ μόνον οὐκ ἴσχυσε τοῦτο παρ' αὐτοῦ λαβεῖν, ἀλλὰ κἂν ποτε διεγεῖραι βουληθείη τὴν φράσιν, ὀλίγον ἐμπνεύσας, ὥσπερ ἀπόγειος αὔρα, ταχέως σβέννυται. μακρότερος γὰρ γίνεται τοῦ δέοντος ἐν πολλοῖς καὶ τοῦ πρέποντος,

καὶ

rum aptissimis utitur, & finem convenientem unicuiq; attribuit. Digessit eleganter & disposuit, ac variis ornamentis suam scriptionem affecit. Mores præ se fert sanctos, justos, fortes, faciles; ac in summa omnibus virtutibus ornatos.

3. Atque hæc quidem est forma rei & argumenti ejus. Forma vero elocutionis, partim similis Herodoto, partim non adeo redundans & fluens. Purus quidem satis in verbis, & apertus; quemadmodum & Herodotus: delegit autem verba usitata, & rebus ipsis à natura insita: quæ omnino non minus suaviter & jucunde quam Herodotus ipse componit.

4. Excellentiam vero & splendorem, amplitudinem jucundam, & suavem conformationem historicã, quemadmodum Herodotus, non habet. Non modo enim hoc ab ipso mutuari non potuit, sed etiam si aliquando voluit suam excitare elocutionem, paululum inspirans, veluti terrena aura, extemplo languescit & extinguitur. In multis enim plus æquo longior fit;

nec

καὶ οὐχ ὡς Ἡρόδοτος ἐφάπτεται τῶν προσώπων εὐτυχῶς, ἀλλ' ἐν πολλοῖς ὀλιγωρός ἐστιν, ἄν τις ὀρθῶς σκοπῇ.

ΕΡΜΟΓΕΝΗΣ Ο ΤΑΡΣΕΥΣ,

περὶ τῆς τοῦ Ξενοφῶντος ἰδέας.

ΕΣΤΙΝ οὗτος ἀφελὴς μὲν ὡς ὅτι μάλιστα, καὶ τούτῳ πλεονάζων τῷ εἴδει παρὰ τὰ ἄλλα εἴδη πάντα τοῦ πανηγυρικοῦ· ταῖς μὲν ἀπὸ τῆς ἀφελείας αὐτῆς ἡδοναῖς πολλαῖς χρώμενος, γλυκύτησι δὲ ταῖς ἀπὸ τούτων, οἷον ταῖς ἀπὸ τῶν μύθων, καὶ τῶν τοιούτων, μανώτερον.

β'. Ἐπεὶ καὶ ὅτε περὶ τῶν κυνῶν διέξεισιν ἡδονὰς ποιῶν, κατὰ τὴν τῆς ἀφελείας αὐτῆς ἐπίτασιν τοῦτο ποιεῖ, καὶ οὐ κατ' ἄλλο τι τῶν φύσει γλυκύτητος ἰδίων.

γ'. Τὸ μέντοι περὶ τὸν Ἀβραδάτην καὶ τὴν Πάνθειαν πᾶν ἦθός τε καὶ πάθος πολλὰς ἔχει τὰς ἡδονάς, μυθικῶς πλασθέν·

nec adeo feliciter ut Herodotus personarum dignitatem attingit & exprimit: sed in multis, si quis recte consideret & perpendat, eum negligentiorem reperiet.

HERMOGENES TARS. *De forma dictionis Xenoph.*

HIc scriptor simplex est in primis, & ea dicendi forma præ cæteris formis omnibus, quæ sunt laudationum, abundat: ac vario genere suavitatis, à simplicitate proficiscentis, utitur; ita tamen, ut manantes hinc delectationes, veluti quæ sumuntur à fabulis, & aliis ejusmodi, rarius adhibeat.

2. Nam & ubi de canibus pleraque cum lectoris voluptate commemorat, id ipsum per intensionem simplicitatis facit; non alia quadam illorum ratione, quæ naturaliter ad suavitatem pertinent.

3. Tota quidem descriptio morum & affectuum Abradatis ac Pantheæ, fabulose conficta, delectationes multas habet; nec mi-

πλασθέν· καὶ τὰ περὶ τὸν Τιγράνην δὲ ὡσαύτως, καὶ τὴν γυναῖκα αὐτοῦ τὴν Ἀρμενίαν.

δ'. Ἔφαμεν δέ, ὅτι μανῶς μὲν χρῆται ταῖς τοιαύταις γλυκύτησι, χρῆται μέντοι καὶ ταύταις. μεγέθους δὲ κατὰ μὲν ἔννοιαν ἅπτεται πολλαχοῦ, καθαίρει δὲ καὶ τοῦτο, καὶ βιάζεται πρὸς τὸ ἀφελὲς ταῖς μεθόδοις, καὶ τῇ λέξει, καὶ τοῖς περὶ τὴν λέξιν ἅπασι.

ε'. Καθαρὸς δέ, καὶ εὐκρινής, εἴπερ τις ἕτερος, ὁ Ξενοφῶν· δριμύτησί τε καὶ ὀξύτησι χαίρων, ὧν τὴν φύσιν ἐν τῷ περὶ γλυκύτητός τε καὶ ἀφελείας εἰρήκαμεν. ἐπιμέλεια δέ, ὡς ἐν ἀφελείᾳ τε καὶ ἀπλάστῳ λόγῳ, χρῆται πολλῇ.

ζ'. Τῆς δὲ παρὰ τῷ Πλάτωνι ἀφελείας πολλῷ ἡ παρὰ τούτῳ ἀφελεστέρα ἐστί, κατ' αὐτὰς τὰς ὑποθέσεις τῶν πραγμάτων τοιαύτη γινομένη, οὐ μόνον κατὰ τὴν λέξιν, καὶ τὰ ἑπόμενα τῇ λέξει.

ή. Συμπόσια γοῦν ἀμφοτέροις ἐστὶ γεγραμμένα. ἀλλ'

ὁ

nus & illa, quæ de Tigrane, deque conjuge ipsius Armenia narrantur.

4. Diximus autem, rarius eum uti hoc genere suavitatis; & utitur tamen. Amplitudinis vero formam sententiis frequenter adtingit, ita tamen, ut hanc etiam extenuet, ac vi quadam revocet ad simplicitatem per ipsas tractandi rationes, verborumque delectum, ac per alia, quæcumque proprie ad verba pertinent.

5. Purus autem est, ac dilucidus Xenophon, si quisquam alius; & acrimonia pariter acumineque gaudet: quorum naturam in capite de suavitate ac simplicitate exposuimus. Accurationem in dicendo, ut in oratione simplici, & fictiones experte, multam adhibet.

6. Eam vero simplicitatem, qua Plato usus est, longe Xenophontis simplicitas superat, quum quidem hæc talis sit ipsis rerum argumentis, non verbis duntaxat, & iis, quæ verba comitantur.

7. Scripta sunt ab utroque convivia. Sed hic & saltatricum

intro-

ὁ μὲν καὶ ὀρχηστρίδων εἰσόδους, καὶ ὀρχημάτων εἴδη τινὰ, καὶ φιλήματα, καὶ πολλὰ τοιαῦτα λέγειν μεθ' ἡδονῆς οὐ παραιτεῖται· ὁ δὲ ταῦτα, ὡς αὐτός φησιν, ἀφεὶς ταῖς γυναιξὶν, ἐπὶ τὸ σεμνότερον ἄγει τὴν ἀφέλειαν τῶν πραγμάτων.

η'. Τοιοῦτος δὲ ὁ Ξενοφῶν κἀν τοῖς ἱστορικοῖς, οἷος κἀν τοῖς ἄλλοις· οἷον, ὅτι χιλὸν ἐστέψαντο, ὅταν λέγει· καὶ ὅτι τοῖς παισὶν ὡς ἐνεοῖς διελέγοντο, καὶ ὅτι πίνειν ἀπὸ τοῦ κρατῆρος ἐπικύψαντας ἔδει, καθάπερ βοῦν· ταῦτα γὰρ, καὶ τὰ τοιαῦτα, καθ' ὑπερβάλλουσαν ἀφέλειαν ἔχει τὴν ἡδονὴν, ἥπερ οὐχ ὁμοίως ὁ Πλάτων ζητεῖται.

θ'. Κἀν ταῖς μιμήσεσι δὲ τῶν προσώπων μᾶλλον εὐδοκιμεῖ, ὅτε ἀφελῆ, καὶ ὡς ὄντως ἄπλαστα, καὶ ἁπαλὰ, καὶ ἡδέα ἤθη ψυχῶν μιμεῖται· ὥσπερ καὶ τὸ τοῦ Κύρου, παιδὸς ἔτι ὄντος, καὶ ὅσα τοιαῦτα.

ι'. Παρὰ δὲ τῷ Πλάτωνι τοιοῦτον οὐδέν ἐστι, πλὴν ὅσον ἐν ταῖς τῶν μειρακίων ἡλικίαις· οἷον, ὅτε τὸν Θεαίτη-

τον,

introductionem, & quasdam saltationum species, & oscula, cum aliis talibus, literis prodere qua dam cum voluptate non veretur: quum Plato, sicut ipsemet ait, mulieribus hæc relinquens, simplicitatem rerum ad graviorem quandam speciem traducat.

8. Xenophon autem in historicis quoque talis est, qualis & in aliis libris: veluti quum dicit milites gramineis coronis usos: item, quod cum pueris, tanquam surdis ac mutis, loquuti sint: & quod è cratere bibendum eis erat capite demisso, bovis instar. Nam hæc, & his similia, quadam eximia simplicitate delectant; cujus usus apud Platonem non itidem reperitur.

9. Etiam in personarum imitationibus magis excellit Xenophon, quum simplices, ac reapse fictionis expertes, & teneros, & jucundos, animorum mores imitando exprimit; ut indolem Cyri adhuc pueri, & quæcunque sunt hujus generis.

10. Ad apud Platonem nihil est tale, præterquam in adolescentium ætate: veluti quum Theætetum,

τον, ἤ τι τοιοῦτον πρόσωπον εἰσάγει, πάντως οὐ κατὰ τὸ τοῦ Κύρου δήπουθεν ὃν λέγω, παιδὸς ἔτι ὄντος, ἢ κατὰ τὸ τῆς Ἀρμενίας γυναικός, ἢ ὅσα τοιαῦτα.

ια΄. Ἴδιον δὲ Ξενοφῶντος καὶ τὸ κατὰ ποσὰ διαστήματα χρῆσθαι ποιητικαῖς πως λέξεσι, πολὺ τῶν ἄλλων τῇ φύσει διεστηκυίαις λέξεων· ὥσπερ ὅταν λέγῃ πορσύνειν, καὶ ὅσα τοιαῦτα.

vel aliam quandam ejuſmodi perſonam introducit; omnino tamen alia ratione, quam qua Cyrus ille Xenophonteus, de quo loquor, adhuc puer introducitur; vel uxor Tigranis Armenia, vel quæ alia ſunt ejuſmodi.

11. Eſt & illud Xenophonti peculiare, quod per intervalla nonnunquam verbis quodam modo poëticis utitur, quæ natura ſua plurimum ab aliis verbis differunt: veluti quum πορσύνειν dicit, & quæ ſunt ejus generis alia.

Cicero de Oratore lib. 2.

Denique etiam à Philoſophia profectus princeps Xenophon Socraticus ille, ſcripſit Hiſtoriam, leviore quodam ſono uſus, & qui illum impetum Orationis non habeat; vehemens fortaſſe minus, ſed aliquanto tamen, ut mihi quidem videtur, dulcior.

Xenophontis ſermo, eſt ille quidem melle dulcior, ſed à forenſi ſtrepitu remotiſſimus. *Id.*

Xenophontis voce Muſas quaſi locutas ferunt. *Id.*

Quintilianus Inſtit. l. 10. c. 1.

Quid ego commemorem Xenophontis jucunditatem illam inaffectatam, ſed quam nulla poſſit affectatio conſequi? ut ipſæ finxiſſe ſermonem Gratiæ videantur: & quod de Pericle veteris comœdiæ teſtimonium eſt, in hunc transferri juſtiſſime poſſit, in labris ejus ſediſſe quandam perſuadendi Deam.

FINIS.

430856